F. 230. <Sine titulo> (*Λαμπαδίας κομήτης οὕτω προσαγορευόμενος ἐκ τοῦ σχήματος — φυλακὴν τῶν ὅρων ἐνιδρυμένοι στρατιῶται τὰ χείριστα ἐπάξουσιν*). — Ed. ibid., p. 41, 5 - 43, 19.

F. 234. *Κομήτης δισκεύς* (*Ὁ λεγόμενος δισκεὺς — ὡς ἐγγὺς παντελῶς ἀπωλείας ἐλθεῖν*) — Ed. ibid., p. 441, 1 - 12.

F. 235. *Κομ῾της τυφῶν* (*Οὗτος γίνεται μὲν ἐξ ἀντανακλάσεως τοῦ ἀέρος — ἐφ' ὅσας ἡμέρας ἡ τοιαύτη διοσημεία φανήσεται*). — Editum ib., p. 44, 13 - 45, 21.

F. 237-237v. Tabulae astronomicae ubi indicantur dies lunae et positiones signorum Zodiaci per singulos dies duocecim mensium. — Deinde folia interciderunt.

F. 238. *Μερικὴ παρατήρησις περὶ ἀνέμων καὶ τῶν ἐτησίων ἀνέμων* (*Μὴν Ἰωνουάριος. ἡλίου β'. ὁ μὲν ἥλιος πηδᾷ, τὸ δὲ μέσον τοῦ Καρκίνου δύεται* — Expl. f. 243 , die 19 mensis Novembris *τὸ κέρας τοῦ Ταύρου δυόμενον βορρέαν πνεῦσαι ποιεῖ*) — Sunt excerpta ex calendario Clodii. Cf. Lydum, ed. Wachsmuth, p. 117,19-153,4.

IV. BIBLIOTHECA DVCIS DE OSVNA

46. Nobis inspicere non contigit librum bombycinum et chartaceum e fragmentis plurium codicum compactum qui servatur in bibliotheca privata ducis de Osuna et describitur apud Graux et Martin, *Notices des mss. d'Espagne*, p. 142. In eo collecta sunt opuscula varia medicinalia saeculis XIV, XV, XVI transcripta. Primum est finis lexici de alimentis Pselli vel Symeonis Sethi, quod in codice quoque Matritensi Bibl. Nat. 4681 [nostro 37] f. 18 invenitur. — Sequuntur praecepta *περὶ ῥεουσῶν τριχῶν* et alia remedia. — Deinde invenitur fragmentum 4+12 paginarum :

> *Σεισμολόγιον τῶν ιβ' μηνῶν.* — Testibus Graux et Martin, videtur simile esse opusculo anonymo *Περὶ τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ* ab Idelero edito *Physici et medici Graeci minores*, Berlin, 1841, I, 423, quod nobis quidem dubium videtur. Cf. *Catal.* IV, p. 170 ss., XI, I, p. 157 et praesertim X, p. 62.

Sequitur : *Κατὰ ἐρωτήματα καὶ ἀποκρίσεις περὶ τοῦ τί ἐστιν ἄνθρωπος καὶ πῶς ἐστὶν ἄνθρωπος*, deinde leguntur scripta varia Hippocratis, S. Maximi, Galeni, Pselli.

CODICES CAESARAUGUSTANI

CODICES CAESARAUGUSTANI

47. Bibliotheca del Pilar a Zaragoza, 1087 (erat 1061) in folio, chart. saec. XVI; ff. (non numerata) I+84+1. In operculo membranaceo legitur: [*Apol*]*lonius Pergeus et Eutocius* 8 M. — Intra: *Est D. B. Laurentii canonici S. Mariae de Pilari, Caesaraugustae, Idib. Octobr.* 1593, 30 rs.— Cf. Graux et Martin, *Notices des mss. d'Espagne*, p. 265.

F. 1. *Ἀπολλωνίου Περγαίου κωνικῶν πρῶτον* (*Ἀπολλώνιος Εὐδήμῳ χαίρειν. Εἰ τῷ τε σώματι — διὰ τῆς διχοτομίας τῆς πλαγίας πλευρῶν τῶν ἀντικειμένων*).

F. 13. *Εὐτοκίου Ἀσκαλωνίτου εἰς τὸ α' τῶν Ἀπολλωνίου κωνικῶν τῆς κατ' αὐτὸν ἐκδόσεως ὑπόμνημα.* (*Ἀπολλώνιος ὁ γεωμέτρης — τοῖς ἐπὶ τῆς παραβολῆς εἰρημένοις προσέχοντες ὑπερβολὴν καὶ ἔλλειψιν*). Abrumpitur textus in commentarii cap. *κα'*.

F. 25. Charta et manus diversae: Inc.: *Τὰς δὲ θυσίας δεῖ ποιεῖν, ὡς προείρηται πρὸς μὲν θεοὺς ὁσίως, πρὸς δὲ τὰς δαπάνας,— ἀσύμφορα δὲ τἀναντία τούτων, πόλει δὲ συμφέρον πλῆθος πολιτῶν.*

F. 26 et 26ᵛ vacant.

F. 27. [*Ὑ*]*ποθέσει χρῆται ὁ Θεοδόσιος ὁμαλῶς κινεῖσθαι τὸν ἥλιον τὴν ἐναντίαν τῷ κόσμῳ κίνησιν κατὰ τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου — οὔτε τῇ πρὸ αὐτῆς ἡμέρᾳ, οὔτε τῇ μετ' αὐτὴν ἴσῄ ἐστιν* (sic).—Theodosii Tripolitani. Cf. supra cod. 23, f. 175.

F. 37. [*Ὅ*]*ταν ὁ ἥλιος διαπορεύεται τὸ μετὰ τὸν Καρκῖνον τεταρτημόριον, νὺξ καὶ ἡμέρα τὸ συναμφότερον* — [f. 48] *ἀλλὰ καὶ ἀσύμμετρος, οὐδέποτε ἄρα ἔσται πάντα κατὰ τὰ αὐτά.* — Cf. ibidem f. 194.

F. 48. [*Τ*]*ῶν ἀπλανῶν ἀστέρων αἱ ἐπιτολαί τε καὶ δύσεις, αἱ μὲν λέγονται ἀληθιναί, αἱ δὲ φαινόμεναι· τῶν δὲ ἀληθινῶν, ἑῴα μέν ἐστιν ἐπιτολὴ, ὅταν ἅμα τῷ ἡλίῳ ἀνατέλλοντι ἄστρον τι συνατατέλλῃ* — Expl. [f. 53] *ἄστρου ἐστιν ἑῴα ἀληθινὴ δύσις, τοῦ ἡλίου ὄντος πρὸς τῷ ε' δῆλον.* Abrumpitur in ima pagina.

F. 54-56 vacant.

F. 57. *Θεοδοσίου περὶ οἰκήσεων πρῶτον* (*Τοῖς ὑπὸ βόρειον πόλον οἰκοῦσιν ἡμισφαίριον — τυχὸν σημεῖον τὸ ε′ λέγω ὅτι ἡ ἀπὸ τοῦ ε′*). — Cf. supra cod. 23, f. 165.

F. 63^{v}-64^{v} vacant.

F. I. Index latinus.

48. Bibliotheca del Pilar 1143 (fuit 2849); chart., anno 1585 manu Andreae Darmarii Venetiis scriptus (cf. f. 77), constat octo fasciculis duodenorum foliorum. — Cf. GRAUX et MARTIN, *Notices*, p. 223.

F. 1. *Τὰ περιέχοντα ἐν ταύτῃ τῇ βίβλῳ ὑπὸ διαφόρων κεφάλαια. — πίναξ.* — Inc. *Τοῦ σοφωτάτου Αὐτολύκου — τοῦ αὐτοῦ περὶ μέτρων.*

F. 3, 3^{v} et 4 vacant. — F. 4^{v}. *Τέλος τοῦ πίνακος τῶν περιεχομένων ἐν τῇ βίβλῳ ὑπὸ διαφόρων. τέλος.*

F. 5. *Τοῦ σοφωτάτου Αὐτολύκου περὶ κινουμένης σφαίρας. προοίμιον* (*Πῶς ἐστι δεδειγμένον ὅτι ὁ ος′ πρὸς τὴν ρτ′ μείζονα λόγον ἔχει — τὰ γὰρ ὅμοια ἢ ἑνὸς κύκλου ὄντα, καὶ δύο ἴσων καὶ ἴσα ἐστίν*). F. 8^{v}. *Τέλος τῆς προθεωρίας.* — Vacat reliqua tota pagina.

F. 9. *Αὐτολύκου περὶ κινουμένης σφαίρας* (*Ὁμαλῶς λέγεται φέρεσθαι τὰ σημεῖα, ὅταν ἐν ἴσῳ χρόνῳ — μέγιστος ἄρα ἐστὶν ἑκάτερος τῶν αβγ βδγ κύκλων*). *Τέλος Αὐτολύκου περὶ κινουμένης σφαίρας.* — Cf. supra, cod. 23, f. 113 et cod. Paris. 14, f. 25

F. 31 et 31^{v} vacant.

F. 32. <Sine titulo> *Τὸ στόμα λέγεται τριχῇ διαστατόν· τρεῖς γὰρ διαστάσεις ἔχει — ἡ δὲ ἐπιφάνεια παχυνθεῖσα ποιεῖ σῶμα.*

F. 33. *Ἀνθεμίου περὶ παραδόξων μηχανημάτων.* — Edit. Westermann, *Παραδοξογράφοι*, 1839, p. 149 s.

F. 44. *Ἀνατολίου περὶ τεχνῶν καὶ ἐπιστημῶν.*

F. 50. *Δαμιανοῦ τοῦ Ἡλιοδώρου Κρισσαίου κεφάλαια τῶν ὀπτικῶν ὑποθέσεων τὸν ἀριθμὸν ιδ′.* — Expl. f. 63^{v} *ἥτις ἀποδέδεικται πρὸς ἴσα κλᾶσθαι γωνίας.* — *Τέλος τῶν ὀπτικῶν ὑποθέσεων Δαμιανοῦ Ἡλιοδώρου τοῦ Κρισσαίου.* — Cf. supra cod. 30 f. 101.

F. 64. *Τοῦ σοφωτάτου Ἥρωνος γεωμέτρου εἰσαγωγὴ γεωμετρουμένων. προθεωρία.* Sequuntur alia scripta Heronis.

F. 77. *Ἐν τῷ ἔτει παρὰ Ἀνδρέου Δαρμαρίου Ἐπιδαυρίου ,αφπε′ αὐγούστῳ κδ′ Ἐνετίαζε.*
Sequuntur multa folia vacantia.

APPENDIX

EXCERPTA EX CODICE 24 (Scor. II. Ψ. 17)

F. 38v. *Τὰ ἐκτός.* Antiochi [Porphyrii] [1].

Ἐκ δὲ τῶν ἐκτὸς Κρόνος μὲν ἄρχει χρονίων πραγμάτων, ὑγρότητός τε καὶ ψύξεως καὶ παλαιῶν ἔργων καὶ ἀποθησαυρισμῶν, θεμελίων τε καὶ ἐγγείων, ἀρχαίων τε καὶ πρεσβυτέρων καὶ ἀσπέρμων καὶ ἀτέκνων προσώπων, πλεόντων τελειότητος καὶ βαθείας πονηρίας καὶ ἐνδομυχίας καὶ συκοφαντίας καὶ βασκανίας καὶ φθόνου καὶ μόχθου καὶ βλοσυρότητος, καὶ εἱργμῶν καὶ κακοτροφίας καὶ βδελυρίας καὶ πάσης στυγνότητος καὶ βασάνων. ἐξ ὧν, ἐν μὲν ἰδίοις τόποις χρηματίσας καὶ καλῶς καὶ λαμπήναις σχηματισθεὶς πρὸς τὴν γένεσιν ὠφελεῖ ἀπ' ἀλλοτρίας βλάβης τὰς αὐξήσεις προσάγων· κακῶς δὲ σχηματισθεὶς μόχθους καὶ συμφορὰς ἐπάγει. καλεῖται δὲ Φαίνων.

Ὁ δὲ τοῦ Διὸς ἡγεῖται μεγαλοπρεπείας καὶ δόξης, σεμνότητος, ἀπολαύσεώς τε καὶ εὐτροφίας, ἀρχῆς τε καὶ τιμῆς, εὐτεκνίας τε καὶ τῆς παρ' ἡγεμόσι καὶ ὄχλοις ἀποδοχῆς· καλεῖται δὲ Φαέθων.

Ὁ δὲ τοῦ Ἄρεος διάπυρός τέ ἐστι καὶ αἱματώδης, καυτηρίῳ τε προσόμοιος ὤν. ἀφηγεῖται γὰρ τοῦ ἐν ἡμῖν θερμοτάτου αἵματος,

---

3 *παλαιῶν* Epit. : *κακῶν* S(corialensis) *πασῶν* P(orphyrii editio) 4 *τελεθίων* sic P *ἀγγείων* S *ἀρχαί* P 4-5 *ἀσπέρμων*] *ἀσπέρμων* S : *σπερμάτων* P 6 *ἐνδονυχίας* S *βασμανίας* P 7-8 *καὶ εἱργμῶν - στυγνότητος* omis. P 8 *βασανίων*, in mg. *βασκανιῶν ἢ βασάνων* P Legendum *βασάνων ὀξέων. ἐν μὲν*? cf. p. 110, 3. 10 *ὀφελεῖ* P 11 *προσάγων* S : *προσείων* P 15 *ἀπὸ δόξης* S 17 *διάπυρος* SP : *πύρρος ἐστιν τὸ χρῶμα* Epit. ; cf. p. 111, 8. *ἐστι* S : *ων* P sine *καί* 17 *ὤν* omis. P

---

(1) [Hoc primum esse capitulum *Introductionis* Antiochi primo obtutu manifestum fiet, si vel pauca verba cum summario *τῶν εἰσαγωγικῶν Cat. astr.* VIII, III, p. 111, edito contuleris. Cuius capituli formam contractiorem publici iuris fecit Boll, *Cat. astr.*, VII, p. 127. Sed non ex ipso Antiocho haec habuit scriptor codicis Scorialensis sed ex *Introductione* Porphyrii (p. 198 ed. a. 1559), qui Antiochum expilavit. — F. C.].

ὡς εἴρηται, καὶ σπερματικῆς ὁρμῆς καὶ γυναικείων συλλήψεων καὶ κινδύνων καὶ θυμοῦ καὶ ὀργῆς καὶ θράσους καὶ βίας, παραβόλων πραγμάτων καὶ παθῶν ὀξέων, στρατείας τε καὶ πολέμου καὶ σιδήρου χρήσεως καὶ τραυμάτων καὶ πάντων τῶν μετ' ὠκύτητος καὶ ἐκπλήξεως γινομένων. καλεῖται δὲ Πυρόεις.

Ὁ δὲ Ἥλιος πνεύματος ἄρχει καὶ τῆς ἐν ἡμῖν αἰσθητικῆς ψυχῆς καὶ κινήσεως πνευματικῆς καὶ πατρικοῦ ἢ ἡγεμονικοῦ προσώπου.

Ὁ δὲ τῆς Ἀφροδίτης, παρακείμενος μὲν τῷ Ἡλίῳ, μέγεθός τε ἔχων καὶ φωτιζόμενος ὑπ' αὐτοῦ τῇ λαμπηδόνι, ἐπεὶ ὁ μὲν, ἅτε καιομένου πυρός, αἴθαλος ὑπὲρ τὸ ὑποκείμενον ταύτης πλάτος εὐειδέστατος καὶ καλὸς ὁρᾶται· ὅθεν διὰ μὲν ἱλαρότητα τοῦ φωτὸς ἄρχει εὐμορφίας, εὐπρεπείας, καθαρότητος, λαμπηδόνος βίου, εὐκοσμίας, στεφανηφορίας, ἱερατείας, χρυσοφορίας, τρυφερότητος. διὰ δὲ τὸ συμπαρεῖναι καὶ αὐτὸν τῷ ψυχικῷ τοῦ κόσμου στοιχείῳ καὶ συμπαθείας ἀπ' αὐτοῦ λαμβάνειν αὐγάς, ἄρχει φιλοστοργίας, ἔρωτος, ὀρέξεως, γάμου, θρησκείας, εὐμουσίας καὶ τῶν κοσμικῶν ἀρχῶν καὶ θεατρικῶν, τῶν τε συνοίκων καὶ θηλυκῶν προσώπων, μητρός, ἀδελφῆς καὶ θυγατρός. καλεῖται δὲ Φωσφόρος.

Ὁ δὲ τοῦ Ἑρμοῦ συναπτόμενος τῷ Ἡλίῳ παλμώδης μὲν φαίνεται καὶ σπανιώτερον ὁρᾶται, ἅσσον [δὲ] ἀεὶ τῆς τοῦ Ἡλίου προσαυγῆς τεταγμένος καὶ πλειστάκις ἀνατέλλων καὶ δύνων ὑπὸ τὰς αὐγάς. ἄρχει γάρ, οἷα δὴ τῷ ἡγεμονικῷ παρακείμενος ψυχικῆς κινήσεως ἄρχοντι στοιχείῳ, φρονήσεως καὶ λόγου καὶ ἐπιστήμης, καὶ ὅσα λόγῳ διοικεῖται, παιδείας, ἐμπορείας, πραγματείας, φιλίας, κοινωνίας, συναλλάγματος, ἑταιρείας, ὑπηρεσίας, ἔτι δὲ καὶ νεωτέρων προσώπων, τέκνων τε καὶ θρεμμάτων. καλεῖται δὲ Στίλβων.

---

1 *συλλησμῶν* S : *συλλημῶν* in mg. *συλλήψεων* P 2 *ἐνεργείας τε καὶ κινδύνων* P 7 *πατρικοῦ* S : *πνευματικοῦ* P. 10-11 *αἴθαλος ἅτε κ.π.* transp. P 12 Leg. *εὐειδεστάτως καὶ καλῶς ὁρᾷ? εὐηδέστατος καὶ καλῶς* S 13 *καθαριότητος* Epitome. 15 *συμπαρῆναι* S 16 *λαμβάνει* S 17 *θρησκείας* S : *θρησηνὰς* sic P 20 Mercurium ante Venerem collocant epitome et excerptum Bollii *συνεπόμενος* S : *συνεσπόμενος* P, corr. ex epit. et excerpt. *παρμώδης* in mrg. *παλμώδης* P 21 *δὲ* del. *σπανιώτερος* S : *ἐσπανιώτερος* P 22 *προσαυγῆς* S : *πρὸς αὐτοῦ* P 23 *γὰρ*] *δὲ* marg. P. 24 *ἄρχων τι* P *ἐμπειρίας* P 26 *ἑτερείας* S

Ἡ δὲ Σελήνη περιγειοτάτη ὑπάρχουσα καὶ τὰς πάντων ἀπορροίας δεχομένη τῷ ἑαυτῆς μεγέθει καὶ διακονοῦσα πρὸς τὴν <γῆν> ὑποκειμένην, ἄρχει τοῦ παντὸς ἡμῶν σώματος καὶ τῆς περὶ αὐτὸ ὑγείας καὶ καταστάσεως καὶ μητρὸς καὶ ἡγεμονικῶν γυναικῶν.

Ἔχουσι δὲ οὗτοι καὶ τοιαύτας βαφάς (1) *· ὁ μὲν Κρόνος βαφῆς καστοριζούσης ἢ μολυβδίνης · ὁ δὲ Ζεὺς γαλαϊζούσης ἤγουν πρασίνης ἐπὶ τὸ λευκὸν ῥεπούσης μικρόν · ὁ Ἄρης πυρίνης, φλογίνης ἀληθινῆς · ὁ Ἥλιος χρυσοκιτρίνης · ἡ Ἀφροδίτη λευκῆς · ὁ Ἑρμῆς κυανῆς · ἡ Σελήνη πρασίνης.*

Αἱ δὲ εὐεργεσίαι αὐτῶν αὗται · ὁ Κρόνος δάκρυον, Ζεὺς γένεσιν, Ἄρης θυμόν, Ἥλιος γέλωτα, Ἑρμῆς λόγον, Σελήνη ὕπνον (2).

F. 50. *Μέθοδος εἰς τὸ ψηφίσαι τὸν ἥλιον ἐν ποίᾳ μοίρᾳ τοῦ ζῳδιακοῦ ἐστίν.* (3)

Κράτει τὰ ἀπὸ κτίσεως κόσμου ἔτη καὶ ἀφαίρει ἐξ αὐτῶν πεντακισχίλια ρπδ' (4) *καὶ τὰ ἐναπολειφθέντα εἰσάγαγε εἰς τὸ*

---

2 *γῆν* suppl. 6 Titulum habet Porph. editio : *Περὶ ὧν ἱματισμῶν καὶ βαφῆς κυριεύουσαι* (sic) *ἢ χροίας.* 7 *μολιβδίνης* S : *ἢ μολυβδίνης* om. P *γαλαιζούσης*] cf. Achmet. ed. Rigalt., cap. 220, p. 193 8 *πρασύνης* cod. *ἀληθινῆς* P : om. S ; cf. Boll, op. cit. 10 *ὁ Ἑρμῆς κυανῆς* om. P. *πρασίνου* P 14 *ζῳδίου* cod., corr. 16 *ρπδ'* ; cf. p. 112 v. 9

---

(1) Quae sequuntur fortasse non sunt Antiochi ; cf. Vettium Valentem, I, 1, *Cat.* II, p. 88 = p. 2 ss. ed. Kroll. Cf. Franz Boll, *Antike Beobacht. farbiger Sterne* in *Abhandl. Bay. Akad. München.*, 1918, p. 20, qui de his coloribus egit.

(2) Similia edita sunt *Cat.* VIII, 1, p. 265. Ex Hermete excerpta sunt.

(3) Ad utramque hanc « methodum » correctius edendam auxilium suum officiose nobis obtulit sacerdos doctissimus A. Rome, quo nemo astronomiae Graecae peritior. Cui observationes et correctiones fere omnes debemus quae sequuntur.

(4) Auctor horum computationum tabulis Ptolemaei quae vocantur *Πρόχειροι κανόνες*, usus est (ed. Halma, Parisiis 1822-1825, II, p. 67 ss.). Quorum calculi ab anno 324 ante C. n. exoriuntur. Cum scriptor Byzantinius aeram quae dicitur mundi adhibeat, detrahendi sunt anni 5184.

κανόνιον τῶν εἰκοσιπενταετηρίδων καὶ ὅπου δ' ἂν εὕροις αὐτὰ εἰς τὸ πρῶτον σελίδιον, λάβε τὰ παρακείμενα μοίρας καὶ λεπτά. καὶ εἴ τι περισσεύουσι τῶν κε' ἀριθμῶν, λέγε αὐτὰ ἔτη ἁπλᾶ. καὶ εἰσάγαγε τὰ ἁπλᾶ ἔτη εἰς τὸ κανόνιον τῶν ἁπλῶν ἐτῶν, καὶ λάμβανε ὁμοίως τὰ παρακείμενα καὶ ἀπογράφου αὐτὰ ὑποκάτω τῶν παρακειμένων ἐν τοῖς εἰκοσιπενταετερίσιν. εἶτα πάλιν δέον τὸν Αἰγύπτιον μῆνα ψηφίσαι καὶ τὴν ἡμέραν οὕτως· κράτει τὰ ἀπὸ κτίσεως κόσμου ἔτη. καὶ ἀφαίρει ὁμοίως ἐξ αὐτῶν ͵ερπδ', καὶ τὰ λοιπὰ μέρισον εἰς τέσσαρα, ἐπειδὴ κατὰ δ' ἔτη ἡμέραν μίαν προλαμβάνουσιν ἡμῶν οἱ Αἰγύπτιοι, καὶ τὰ εὑρισκόμενα κράτει ἐν τῇ χειρί σου. καὶ πάλιν ψήφισον προστιθεὶς τὰς πρὸ σεπτεμβρίου ἡμέρας τρεῖς καὶ τοῦ ὀκτωβρίου α' καὶ τοῦ νοεμβρίου α' καὶ τοῦ δεκεμβρίου α'. καὶ ἁπλῶς ἀπὸ τῶν ἐχόντων μηνῶν ἀνὰ λα' ἡμέρας λάμβανε ἀνὰ μίαν ἡμέραν ἕως οὗ ζητεῖς μηνός, ἔτι δὲ καὶ ὅσας ἡμέρας ἔχει. ὁ ἐνιστάμενος μὴν μέχρι ἡμέρας ἣν ζητεῖς, εἴτε β', εἴτε ι', εἴτε κ', εἴτε πλείονας, εἴτε ἐλάσσονας. καὶ ὅτε ἀναβιβάσῃς πάντα, ἀφαίρε ἐξ αὐτῶν ἡμέρας ε' τοῦ ἐπαγομένου μηνός, ἐὰν ψηφίσῃς ἀπὸ δεκεμβρίου μηνὸς καὶ εἰς τοὔμπροσθεν· εἰ δὲ ψηφίζεις ἐν σεπτεμβρίῳ, ἢ ὀκτωβρίῳ ἢ νοεμβρίῳ, οὐ χρὴ ἀφαιρεῖν τὰς ε' τοῦ ἐπαγομένου. ὁμοίως ἀφαίρει καὶ β' ἀπὸ τοῦ φεβρουαρίου, ἐὰν μετὰ τὸ παρελθεῖν τὸν φεβρουάριον ψηφίσῃς, εἰ δὲ ἔνδον τοῦ μαρτίου ψηφίζεις, οὐ χρεία τοῦ ἀφαιρεῖν τὰς δύο. καὶ οὕτως τὸν εὑρισκόμενον ἀριθμὸν μέριζε παρὰ τὸν λ', ἀρξάμενος ἀπὸ τοῦ μηνὸς οὗ βούλει τὴν ψηφοφορίαν ποιεῖν, καὶ ὅσας τριακοντάδας εὕρῃς, εἰσὶ μῆνες, καὶ τὰ εὑρισκόμενα κάτωθεν τῶν λ' εἰσὶν ἡμέραι. καὶ γράφε τὰ παρακείμενα τῷ μηνὶ καὶ τῇ ἡμέρᾳ, καὶ ὅταν ψηφίσῃς ἅπαντα, εἴπερ εἰσὶ πλείονα τῶν τξ' ἀφαίρει τξ', καὶ λοιπὰ ἀπόγραφε μοίρας καὶ λεπτά. καὶ τότε εἰσάγαγε τὸν τοιοῦτον ἀριθμὸν εἰς τὸ κανόνιον ἡλίου ἀνωμαλίας (1), καὶ εὑρήσεις τὸν τοιοῦτον ἀριθμὸν κατὰ τὰ ἐπιγεγραμμένα εἰς τὰ α' β' σελίδια τῶν κοινῶν ἀριθμῶν. καὶ λάμ-

9 ͵ευπδ' cod., corr. 22 φευβρ. cod. 25 ψηφιφορίαν cod., 30 ἐπιγρ (α supra ρ) cod. 31 Legendum εἰς τὰ β' α', id est τὰ δύο πρῶτα σελίδια « in duas primas columnas ».

(1) Postquam positionem mediam solis scriptor invenit, positionem veram quaerit, usus Ptolemaei tabula anomaliae (Halma, p. 79).

βανε τὰ παρακείμενα τῷ τρίτῳ σελιδίῳ, καὶ ἢ προστίθει ἢ ἀφαίρει τοῦ καταχθέντος ἀριθμοῦ ἐκ τῶν δ' κεφαλαίων. εἰ μὲν γάρ εἰσι πλείους τῶν ρπ' οἱ καταχθέντες ἀριθμοί, προστίθει <τὰ ἐν> τῷ τρίτῳ σελιδίῳ, εἰ δὲ ἐλάττονες τῶν ρπ', ἀφαίρει. καὶ τοῖς οὕτω εὑρεθεῖσιν ἀριθμοῖς προστίθει πάντοτε ξε' μοίρας καὶ λεπτὰ λ' (1) καὶ μίξας πάντα ἀπόλυε τριακοντάδας ἀρξάμενος ἀπὸ Κριοῦ. καὶ ὅπου ἂν καταλήξῃ ὁ ἀριθμός, ἐκεῖ λέγε τὸν ἥλιον ἔχοντα μοίρας ἐν τῷ εὑρεθέντι ζῳδίῳ τόσας καὶ λεπτὰ τόσα.

F. 52. Ψῆφος τῆς κατὰ μῆκος ἐποχῆς τῆς σελήνης.

Λαμβάνω τὰ παρακείμενα ἐν τοῖς δ' κεφαλαίοις (2), ὥσπερ καὶ ἐπὶ τοῦ ἡλίου, τὸ μὲν πρῶτον κεφάλαιον τὰς εἰκοσιπενταετηρίδας, τὸ δὲ δεύτερον κεφάλαιον τὰ ἔτη ἁπλᾶ, <τὸ δὲ τρίτον κεφάλαιον τὸν Αἰγύπτιον μῆνα>, τὸ δὲ τέταρτον κεφάλαιον τὴν Αἰγυπτίαν ἡμέραν, καὶ ἀπογράφω ἐφεξῆς τὰ παρακείμενα ἐν τοῖς δ' κεφαλαίοις ἐν τῷ κανονίῳ καὶ τὸν συναγόμενον ἀριθμόν, μοίρας τε καὶ λεπτὰ, ὁμαδεύω εἰς τὰ τρία σελίδια. ἐν μὲν γὰρ τῷ ἡλίῳ δι' ἑνὸς σελιδίου γίνεται ἡ ψῆφος, ἐν δὲ τῇ σελήνῃ διὰ τριῶν· ὧν τὸ μὲν πρῶτον ἐπιγράφεται σελίδιον ἀπόγειον, τὸ δὲ δεύτερον κέντρον ἐπικύκλου, τὸ δὲ τρίτον κέντρον σελήνης. καὶ ποιῶ ἐν ἑκάστῳ σελιδίῳ τὰ παρακείμενα ἐν τῷ κανονίῳ, ὡς κατωτέρω δειχθήσεται, καὶ ὁμαδεύω τοὺς ἀριθμοὺς τῶν σελιδίων. τότε λαμβάνω τὸν συναχθέντα ἀριθμὸν ἐκ τῶν τεσσάρων κεφαλαίων τοῦ κέντρου ἐπικύκλου, καὶ εἰσάγω εἰς τὸ κανόνιον ἀνωμαλίας τῆς σελήνης, καὶ λαμβάνω τὰ τοῦ τρίτου σελιδίου, καὶ ποιῶ τὸ

3 τὰ ἐν suppl. Rome 4 ρπα' cod., corr. Rome 12 ἔτη ἁπλᾶ signo mathematico cod. 13-14 τὸ δὲ τρίτον - μῆνα suppl. Rome 17 εἰς τὸ γ' σελίδιον cod. 21-22 ὡς - δειχθήσεται ad tabulam deperditam referenda sunt

(1) Numeri exacti; cf. Ptolemaei *Opera astr. min.*, p. 161, 12.
(2) Scriptor Byzantinus adhibuit tabulas lunares quas edidit Halma cum tabulis solaribus (l. c.), de quibus cf. Heiberg, *Ptolem. opera astrol. minora*, p. cxc.

*ἐξ ἀναλόγου ** εἰ εἰσὶ καὶ λεπτά, καὶ ἢ προστίθημι ἢ ἀφαιρῶ.εἶτα τὸν αὐτὸν ἀριθμὸν πάλιν εἰσαγαγὼν εἰς τὸ κανόνιον ἀνωμαλίας, λαμβάνω τὰ τοῦ τετάρτου σελιδίου, καὶ τίθημι αὐτὰ ὑποκάτω τοῦ αὐτοῦ ἐκ τρίτου σελιδίου διακριθέντος ἀριθμοῦ. καὶ τότε εἰσαγαγὼν τὸν ἐκ τοῦ γ' σελιδίου διακριθέντα ἀριθμὸν τοῦ κέντρου τῆς σελήνης εἰς τὸ κανόνιον ἀνωμαλίας, λαμβάνω τὰ τοῦ ε' καὶ ς' σελιδίου, καὶ πολλαπλασιάζω τὰ τοῦ τετάρτου σελιδίου ἐπὶ τὰ τοῦ ς' σελιδίου, καὶ τὰ εὑρισκόμενα ἐκ τοῦ πολλαπλασμοῦ προστίθημι τοῖς τοῦ ε' σελιδίου, καὶ γράφω ὑποκάτω τοῦ ε' σελιδίου διακεκριμένον, καὶ ταῦτα λαμβάνων ἢ προστίθημι ἢ ἀφαιρῶ ἐν τῷ καταχθέντι ἀριθμῷ τῶν τεσσάρων κεφαλαίων τοῦ κέντρου ἐπικύκλου. εἰ μὲν γάρ ἐστιν ἐλάττων ὁ ἐκ τοῦ κέντρου σελήνης διακριθεὶς ἀριθμὸς μοιρῶν ρπ', ἀφαιρῶ τὰ τοῦ ε' σελιδίου ἐκ τοῦ κέντρου ἐπικύκλου · εἰ δὲ πλείων ἐστὶ τῶν ρπ', προστίθημι. ἔπειτα ἐκ τοῦ οὕτως εὑρισκομένου ἀριθμοῦ ἀφαιρῶ τὸν καταχθέντα ἀριθμὸν ἐκ τοῦ ἀπογείου σελήνης, καὶ τὰ λεπτὰ ἐκβάλλω ἀπὸ Κριοῦ διδοὺς ἑκάστῳ ζῳδίῳ μοίρας λ'. καὶ ὅπου καταλήξει, ἐκεῖ λέγω εἶναι τὴν σελήνην τοσούτων μοιρῶν καὶ λεπτῶν..*

1 Lacunam sign. Rome, fort. *μοίρας* suppl., sed plura deesse videntur. 9 Fort. <*τὸ*> *τοῦ* Rome 11 *ἐν* delendum? [Rome].

EXCERPTUM EX CODICE 28 (Scor. IV. Ω. 7).

F. 98ᵛ. *Ἑ ρ μ η ν ε ί α τ ῶ ν ι β' ζ ῳ δ ί ω ν ἑ ν ὸ ς ἑ κ ά σ τ ο υ.*

Κ ρ ι ό ς · ἀπὸ Μαρτίου κβ' βασιλεύει ἕως Ἀπρ(ιλίου) κα'. κυριεύει οὖν ἀπὸ κ' Μαρτίου ἕως ιθ' Ἀπριλίου τὸ α' καὶ τὸ β' · Κριὸς μηνὶ Ἀπριλίῳ α', β', Ταῦρος γ', δ', Δίδυμος ε', ς', ζ', Καρκίνος η', θ', ι', Λέων ια', ιβ', Παρθένος ιγ', ιδ', ιε', Ζυγὸς ις', ιζ', Σκορπίος ιη', ιθ', κ', Τοξότης κα', κβ', Αἰγόκερως κγ', κδ', κέ, Ὑδροχόος κς', κζ', Ἰχθὺς κη', κθ', λ'. — Κριὸς ἡ κεφαλή.

Ὁ γεννηθεὶς ἐν καιρῷ τοῦ ζῳδίου λεγομένου Κριοῦ ἔσται ἐπίνοσος πρώτοις ἔτεσιν, ἀναφάλαντος, τὰ χείλη ἀνεσταλμένα ἔχων καὶ ὑπέρυθρα. ἔσται φρόνιμος, εὐμαθὴς κατὰ πάντα, ἀποδημητικός · τινὲς καὶ ὑποζύγιοι θείων ἀνθρώπων τούτου τοῦ ζῳδίου ἔσονται οἱ ἄνθρωποι καὶ ὁρμάσονται γυναικί · καὶ οὐ μὴ λάβῃ αὐτήν, ἄλλῃ δὲ συνοικήσει. τὸ στίχος μέσος ἔσται ὠφέλιμος ἕως καιροῦ τινος · καὶ Αὐγούστῳ σῦκα ξηρὰ μὴ ἐσθιέτω μήτε κρέας βόειον. ἐτῶν ιζ' ἀσθενήσει · ἐὰν τὴν κλιμαντῆρα ταύτην <διέλθῃ>, μακρόβιος ἔσται. ἐπὶ μικρῷ ὀργίζεται καὶ ταχέως μεταβάλλεται ἔρωτα ὑπὲρ φίλου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἀχαρισθήσεται πρὸς ἀνδρός. γυναικ(ῶν) ψόγον ἀκούσει. πονέσει τὴν κεφαλὴν καὶ ὄμματα. ξενιτεύσει καὶ πόνον κρυπτὸν σχῇ. ἐὰν δὲ βιώσῃ, εὐφρανθήσεται ἐπὶ γυναικὶ καὶ τέκνοις, μεταβήσεται ἐξ οἰκίας εἰς οἰκίαν, καὶ ταφῆς ἀγαθῆς ἐπιτεύξεται. σημεῖον σχῇ ἐπὶ τῆς κεφαλῆς ἢ τοῦ προσώπου · ὕστερον ταῖς ἀρρωστίαις ἀναδώσῃ · κλιμαντῆρας ἔχει ἕως ἐτῶν ιζ' καὶ λε' <καὶ> κν'. ἐὰν δὲ ταῦτα

4 *ἀπριλλίου* cod. ac sic deinceps. 13 *λάβει* cod. 17 *διέλθῃ* suppl., cf. p. 116, 1, 8, 25 20 *σχεῖ* cod. 22 *τάφοις ἀγαθοῖς* cod., corr. Delatte *ἐπιτεύξηται* cod. *σχεῖ* cod. 24 *κλιμαντήρ* pro *κλιμακτήρ* semper dicit scriptor *καὶ* suppl.

(1) Plura opuscula eiusdem farinae iam in hoc *Catalogo* edita sunt a Domenico Bassi (IV, p. 158) et praesertim ab Armando Delatte (X, pp. 101, 171, 212, 228) et alibi quoque inveniuntur; cf. Hippol. *Refut. haeres.*, IV, 15 cum notis Wendlandii. Excerpta quaedam ex hoc codice Scorialensi edere satis habuimus, ut de indole eius quisque iudicare possit. Quae de Cancro et sequentibus signis dicuntur omisimus.

δίελθῃ, ζήσει ἔτη ξς′ · ὅταν δὲ ἀσθενήσῃ, λαμβανέτω ἀποξύσματα κέρατος κριοῦ καὶ τρίχας ἀπὸ μετώπου καὶ τῆς οὐρᾶς, καὶ καύσας καὶ μίξας συν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω, καὶ οὐ κινδυνεύσει.

Ἡ γεννηθεῖσα γυνὴ ἐν καιρῷ ζῳδίου τοῦ Κριοῦ ἔσται τῇ ὄψει λευκόχροος, εὐπρεπής, εὔγλωττος, πρὸς τοὺς ἄνδρας αὐστηρά, ἀπὸ τοῦ πρώτου ἀνδρὸς χηρεύσει καὶ τρισὶν ἀνδράσιν συνοικήσει. σημεῖον ἕξει ἐπὶ τῆς κεφαλῆς ἢ τοῦ προσώπου, κλιμαντῆρας ἔχει ἕως ἐτῶν με′ · ἐὰν δὲ ταῦτα διέλθῃ, ζήσει ἔτη ξς′. ὅταν δὲ ἀρρωστήσῃ, ποιῇ τὰ τοῦ ἄρρενος προρρηθέντα, ἀλειφέσθω, καὶ οὐ κινδυνεύσει.

Ταῦρος † εὐχῆς μέτωπον μάϊον σφονδύλου. Ταῦρος ἀπὸ <Ἀπριλίου> κς′ ἕως Μαίου κγ′. κυριεύει ὁ Ταῦρος ἀπὸ κ′ Ἀπριλίου ἕως Μαίου ιθ′. τοῦ Μαίου α′, β′. Δίδυμος γ′, δ′, ε′. Καρκίνος ς′, ζ′. Λέων η′, θ′, ι′, ια′, Παρθένος ιβ′, ιγ′. Ζυγὸς ιδ′, (ι)ε′. Σκορπίος ις′, ιζ′. Τοξότης ιη′, ιθ′, κ′. Αἰγόκερως κα′, κβ′. Ὑδροχόος κγ′. — Ταῦρος ὁ τράχηλος.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Ταύρου ἔσται εὐτυχής, μακρόβιος, φρόνιμος, εὐόφθαλμος, ἔνδοξος , ἔντιμος, τῶνοἰκείων ἄρξει, πολλὰ πράξει, δίκαιος, ὀξύθυμος, φίλεργος, εὐμαθὴς εἰς πᾶσαν τέχνην, τῇ δὲ ἡλικίᾳ μέσος. εἰς γυναῖκα πιασθήσεται, ἀλλοτρίαν χώραν γυρίσῃ, ὑπὲρ φίλου θήσει τὴν κεφαλὴν αὐτοῦ καὶ ἀχαριστήσεται, ὕβριν καὶ ζημίαν ὑπομείνῃ. σημεῖον σχῇ ἐπὶ τοῦ τραχήλου ἢ τοῖς ὤμοις, πονέσει κεφαλὴν καὶ κρόταφον καὶ κοιλίαν καὶ ὀφθαλμούς. κλιμαντῆρας ἔχει ἕως ἐτῶν ιδ′ καὶ ξγ′. εἰ ταῦτα διέλθῃ, ζήσει ἔτη οε′. ἐτῶν δὲ λ′ καλῶς πράξει καὶ καλῶς πάντα ἔσται. φυλασσέσθω μὴ παλαίειν μήτε τρέχειν καὶ προσέχειν εἰς τὸ ὕψος. φορῇ τὸ ἀφροσέληνον ἀειθαλὲς καὶ ἄσφαλτον. ὅταν δὲ ἀσθενήσῃ, λαμβανέτω ταύρων κεράτων ἀποξύσματα καὶ τρίχας ἀπὸ τοῦ μετώπου καὶ τῆς οὐρᾶς, καὶ καύσας καὶ μίξας θεῖον καὶ λίβανον σὺν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω, καὶ οὐ κινδυνεύσει.

Ἡ γεννηθεῖσα γυνὴ ἐν καιρῷ ζῳδίου τοῦ Ταύρου ἔσται εὐειδὴς καὶ πάνυ λυπήσει τοὺς ἰδίους αὐτῆς. ἐνιαυτοὺς καὶ μῆνας ἀσθε-

1 διέλθει cod. 1-2 ἀπὸ ξύσματος cod., corr., cf. v. 28
4 κεδρίῳ cod. ; corr. cf. v. 30 5 εὐπνεπές cod. 9 ποιεῖ cod.
11 εὐχῆς non capio. Leg. ἔχει? μάϊον σφονδήλου cod. ; non capio Ἀπριλίου supplevi. Legendum κβ′? 15 ὑδροχὸς cod. 18 φρόνημος cod. 21 γυρέσῃ cod. 22 σχεῖ cod. 25 Leg. ἔτη? 27 ἀφροσέλινον cod. Leg. ἀγριοσέλινον, cf. p. 117, 2. [Delatte] 31 εὐήδης cod.

νήσει κοιμωμένη, βρύξει τοὺς ὀδόντας ἐκ τῆς σελήνης · διὰ τοῦτο φορείτω φυλακτήριον καὶ ἀφροσέληνον ἀειθαλὲς καὶ πευκέδανον. ἔσται δὲ θεοσεβής, καὶ ὁ ἀνὴρ αὐτῆς εὐτυχήσει δι' αὐτῆς καὶ παῖδας σχῇ εὐάρεστα καὶ πλουτήσουσι. συμφέρει δὲ αὐτοῖς ξένῳ γάλακτι τραφῆναι. ἔσται δὲ ἀγαθὴ τοῖς πᾶσι. κλιμαντῆρα σχῇ ἕως ἐτῶν νε′ · εἰ ταῦτα διελθῇ, ζήσει ἔτη οε′. ὅταν ἀρρωστήσῃ, ποίει τὰ τοῦ ἀνδρὸς τὰ ῥηθέντα.

Μηνὶ Ἰουνίῳ Δίδυμος ὀφθαλμοφρόνιμος · Δίδυμος ἀπὸ Μαίου κς′ ἕως Ἰουνίου κα′. κυριεύει τὸ γ′ καὶ τὸ γ′. Δίδυμος ἀπὸ κ′ Μαίου. Δίδυμος βραχίονες.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Διδύμου ἔσται τῇ ἡλικίᾳ μετέωρος, εὔπους, πλατυπρόσωπος · ὑπὸ γυναικὸς ἀγαπηθήσεται · κακοπαθήσει τοὺς ἐν νεότητι χρόνους, ἕως ἐτῶν ιε′ ἐπίνοσος ἔσται · χώρας γυρίσει, βασιλικὰς αὐλὰς πατήσει, χρήματα περιποιήσεται, καὶ εἰς αὐτὰ ἀπώλειαν πάθῃ. ἔσται ἐν ὀλίγῳ θυμώδης, εὐδιάλλακτος, ἀτυχοῦντας ἐλεήσει, τοὺς οἰκείους φίλους τιμήσει. φιλόλογος καὶ φιλοτράπεζος ἔσται, ἐπιτειρ...ῶν χρημάτων ἀποβολὴν ποιήσει ἐν αὐτῷ. ἔσται θρασύς, μηδένα ἐντραπούμενος, πολύπονος, ἐρωτικός. παρά τινος τῶν ἐχθρῶν φάρμακα λήψεται. φιλόγυνος, ἀπὸ τῶν ἰδίων γονέων κληρονομούμενος ἀλλοτρίων βρω(μάτων) γενήσεται · αὐτὸς ἐξ ἰδίων κόπων κτήσεται βίον. ψόγον ἀκούσει πρὸς ὑπάνδρου γυναικός, ἀκαταστασίαν ἕξει πρὸς τοὺς ἰδίους. ἐν πρώτοις φυλασσέτω μὴ πιστεύειν τινί. βόειον κρέας μὴ ἐσθιέτω. σημεῖον ἕξει ἐπὶ τῶν ὤμων ἢ ἐπὶ <τὰς> ὠμοπλάτας καὶ τὰς χεῖρας. κλιμαντῆρας ἔχει εἰς ἔτη μ′ καὶ ξε′ · εἰ ταῦτα διέλθῃ, ζήσει ἔτη ἐνενήκοντα ἑπτά ϙζ′. ὅταν ἀρρωστήσῃ, λαβέτω τὰ ἀκρόνυχα τοῦ ἀλέκτορος καὶ διδύμου γάλα καὶ εὐπατόριον καὶ λίβανον καὶ θεῖον καὶ ἔλαιον κέδρινον, καὶ βράσας ἅμα ἀλειφέσθω καὶ οὐ κινδυνεύσει, καὶ φορῇ τὸ εὐπατόριον.

Ἡ γεννηθεῖσα γυνὴ ἐν καιρῷ ζῳδίου Διδύμου ἔσται ἐπίνοσος ἐν τοῖς πρώτοις ἔτεσιν, ἐν δὲ ἔτει ιε′... καὶ καλόμελος καὶ καλὴ κατὰ

1 κοιμομ(εν)ο(ς) cod. 2 ἀειθαλὲς vix de lapide dici potuit, scriptor ἀφροσέληνον cum σέλινον confudit? cf. ad p. 116, v. 27.
4 et 5 σχεῖ cod. 4 αὐτῷ cod. 14 γηράσ' cod., cf. p. 116, 21.
16 εὐδιάλακτος 17 ἐπιτειρ...ῶν L. ἐπιτηρημένων? vel ἐπιτηρητικῶν?
18 ἐντρεπόμενος Delatte 21 βρω... cod., suppl. Delatte collatis *Cat.* X, p. 174, 15 ; 181 20 22 ἀκαστασίαν ἤξει cod. 23 βοῖον cod. 24 τὰς suppl. 25 κλημματῆρας cod. 26 ἐννονήκοντα cod. 28 ἀληφέσθω cod. 27 et 29 εὐπαστόριον cod. 29 φορεῖ cod. 31 ἔτει corr. : ἐτῶν cod. Lacunam signavi.

πάντα, φιλόνικος, ὀξύθυμος· εἰς τὸν ἴδιον λυπηθήσεται καὶ εἰς ἄλλους λυπηρά· εἰς τοὺς γονικοὺς αὐτῆς οἴκους οὐ τελευτήσει, βίον πατρικὸν αὐτῆς οὐ κληρονομήσει. αὕτη δὲ ἐξ ἰδίων κόπων κτήσεται βίον καὶ ἄλλοις δώσει. παρά τινος καταπονηθήσεται. τραχεία καὶ εὐτυχὴς καὶ πολυχρόνιος. σημεῖα τὰ τοῦ ἄρρενος. κλιμαντῆρας ἕως ἐτῶν με' καὶ ξε' · εἰ ταῦτα διέλθῃ, ζήσει ἔτη ϙζ'. ὅταν ἀσθενήσῃ, ποιείτω τὰ τοῦ ἄρρενος καὶ οὐ κινδυνεύσει.

Quae de ceteris signis proferuntur omisimus.

---

2 *λειπορή* cod. ? 3 *αὐτὸν* cod.

EXCERPTUM EX CODICE 30 (Scor. IV, *Ω*. 22).

F. 134[v]. <*Περὶ τοῦ πλανήτου Κρόνου*>

Ὁ Κρόνος ἐστὶ τῇ φύσει ξηρὸς καὶ ὑγρὸς καὶ διέπει τὸ σάββατον δι' ὅλης τῆς ἡμέρας ἀπὸ πρωί, ἀνατέλλοντος τοῦ Ἡλίου, ἕως ἑσπέρας καὶ νυκτὶ ὅλῃ ἕως πρωΐας, ὥρας κδ', ὃ καὶ ὀνομάζεται ἡμερονύκτιον καὶ ἔχει ἐνέργειαν τῇ πρώτῃ ὥρᾳ, ἀνατέλλοντος τοῦ Ἡλίου, τὸ σάββατον, ἕως νὰ κρούσουν οἱ δύο ὥραις. εἶτα σεβαίνει ἕτερος πλανήτης ὁ Ζεύς... κτλ.

Ὁ Κρόνος, ὁ ἀνώτερος πάντων ἀστὴρ καὶ πλανήτης, ἔστι τῇ φύσει ξηρὸς καὶ ὑγρός, καὶ ἀπὸ τὰ ἑπτὰ κλίματα τοῦ κόσμου ἔχει τὴν Ἰνδίαν καὶ τὴν ἄκραν τῆς Φραγγίας.

Ἐκ τῶν μετάλλων ἔχει τὸν μόλυβδον.

Ἐκ τῶν βοτανῶν καὶ ῥιζῶν ἔχει τὴν ἀσφόδελον.

Ἐκ τῶν λίθων τῶν πολυτίμων ἔχει τὸ διαμάντι.

Ἐκ τῶν χορδῶν τῆς λύρας ἔχει τὴν λεγομένην ὑπάτην, ἥντινα χορδὴν ὁ Π υ θ α γ ό ρ α ς ὁ φιλόσοφος ηὗρεν ἀπ' αὐτοῦ τοῦ πλανήτου τὴν ἀπορροὴν καὶ κτύπον οὐρανόθεν, φωνὴν πρώτην τῆς μουσικῆς, τὸν βαρύτατον λεγόμενον διὰ πασῶν φθόγγον, καὶ ἑτέρας χορδὰς ϛ'.

Καὶ ἡ ῥίζα ἡ ἀσφόδελος καὶ βοτάνη. ὁ ζωμὸς αὐτῆς ἐστι ἰατρικώτατος εἰς πόνους γονάτων καὶ ἀρτηριῶν καὶ εἰς νεφρούς, ἡ ῥίζα αὐτῆς εἰς δαιμονιζομένους. οἱ πίνοντες αὐτήν, πνεῦμα πονηρὸν οὐκ ἔσται ἐν τῷ οἴκῳ ἐκείνῳ καὶ τὰ βρέφη ἀνωδύνως ἐκφύουσι τοὺς ὀδόντας αὐτῶν. καὶ ὁ βαστῶν αὐτὴν ἐν<ν>υκτὶ οὐ φοβεῖται, ὅτε ἂν ἐμπαίζεται παρά τινος.

Περὶ τοῦ διαμάντ(ίου). Ὁ δὲ πολύτιμος λίθος τὸ διαμάντ(ι) οὔτε πῦρ οὔτε σίδηρος τοῦτο κόπτει, καί ἐστι καλὸν εἰς νεγρομαντίαν, καὶ τὰ πνεύματα διώκει, φάρμακον καὶ φόβον ἀποδιώκει ἀγάπην ποιεῖ, καὶ ὅμοιον τῷ κρυστάλλῳ τῇ θεωρίᾳ. ὅστις τοῦτο φορεῖ ἐν εὐωνύμῳ χειρί ἐστιν ἐναντίον τῶν ἐχθρῶν αὐτοῦ καὶ τῶν ὕπνων κατὰ συνοδίας ἄφρονος καὶ κακῆς, καὶ εἰς ἀγάπην γυναι-

---

Sermonem vulgarem et mendosum saec. XII, ut videtur (cf. ad p. 120, 6) corrigere nolui. Titulum suppl. 4 *ἀνατέλοντος* cod. 15 *οὐρανῶθεν* cod. 18 ss. Cf. *Cat.*, VII, p. 234 ; VIII, iii, p. 160 19 *ἀρτυρίων* cod. 22 *ἐνυκτί* cod. 29 L. *καὶ τῆς συνουσίας* ?

κός. καὶ εἰς αἷμα ζέον νὰ τὴν πλύνεις, ἢ εἰς μόλυβδον διὰ φύσεως κρυφῆς ὀλίγον πλήξας. εἰς χοῦν καταβάλῃ πάντα παροῦσα ἡ καλαμήτα λίθος.

Καὶ οὗτος ὁ Κρόνος, ὡς ἄνωθεν εἴρηται, ἐξουσιάζει τὴν Ἰνδίαν καὶ τὸ Χηντουστάνη καὶ ἑτέρους δύο κόσμους ἐπάνω τὴν Ἰνδίαν τὴν ἐξωτέραν ἕως τοῦ Ἀβδουλμουμηνὴ τὴν χώραν καὶ τὴν ἄκραν τῆς Φραγγίας μὲ τὴν θάλασσαν. καὶ ἔχει ταράτζια ἑκατόν. καὶ ἔστιν ἀνώτερος πάντων πλανήτων, περισσὸς ἀπὸ τοὺς ἑτέρους πλανήτας μερίδας ͵ακε΄ καὶ ἔννατον καὶ σκελίσματα δύο ἀπὸ δυσμῶν ἕως ἀνατολῶν, καὶ γυρίζει, ὡς ἔφημεν, διὰ χρόνους λ΄. καὶ εἰς ἓν ἕκαστον ζῴδιον κάθηται χρόνους δύο ἥμισυ. καὶ ἐν ὁποίῳ ζῳδίῳ κάθηται, ποιεῖ λιμούς. καὶ ὅταν κλώσῃ ἐν τῷ τροχῷ τοῦ οὐρανοῦ ἄντικρυς τὸν Αἰγόκερον τὸν Δεκέμβριον μῆνα ἐν ἡμέρᾳ α΄ καὶ β΄ καὶ γ΄ ἔστι παρατηρήσιμος, καὶ ἄλλον τοῦ Ὑδροχόου, ἤτοι Ἰανουαρίου, εἰς ϛ΄ καὶ ζ΄.

Περὶ τοῦ πλανήτου Διός.

Ὁ Ζεύς, ὡς ἔφημεν, διέπει τῇ πέμπτῃ ἡμέρᾳ, ἔστι δὲ θερμὸς καὶ ὑγρὸς τῇ φύσει. ποιεῖ τὸν γύρον αὐτοῦ διὰ χρόνους ιβ΄.

Ἐκ τῶν κλιμάτων τῶν τοῦ κόσμου μερῶν ἔχει τὴν ἀνατολὴν τῆς Αἰγύπτου.

Ἐκ τῶν μετάλλων ἔχει τὸ στάνιον.

Ἐκ τῶν λίθων ἔχει τὴν σάπφυρον.

Ἐκ τῶν χορδῶν ἔχει τὴν λεγομένην παρυπάτην.

Ἐκ τῶν βοτανῶν ἔχει τὴν ἀρχιτωνίαν καὶ χρυσάνηθον. λέγεται παρ᾽ Ἰταλοῖς σιουκιάμους. ἡ ῥίζα αὕτη θεμένη εἰς βουβῶνας, χάνονται παρευθύς, καὶ εἰς φλεγμονάς. καὶ ὁ βαστῶν αὐτὴν οὐδ᾽ ὅλως ἕξει βουβῶνας. καὶ ἡ χόρτος αὐτῆς καλὴ εἰς ποδάγρας, μετὰ μέλιτος ῥοζάδου πινομένη τὰς κεφαλαλγίας παύει. ὡς τοῦ Διὸς τὸ ἧπαρ ομ... εἰς τὸν ζωμὸν αὐτῆς μετὰ μέλιτος βιολάδου πινόμενον τοῖς θέλουσι ποιεῖ πολὺ σπέρμα, καὶ εἶναι ἀγαπημένοι ὑπὸ τῶν γυναικῶν αὐτῶν <οἱ> βαστάζοντες ταύτην.

5 *Χηντουστάνη* = Hindustan [Honigmann] 6 De regione τοῦ ʿAbdu'l-Mu'min (1094-1163 p. C. n.) cf. Bar-Hebraeum apud Honigmann, *Sieben Klimata*, p. 173 nº 81, p. 169. 7 *ταράτζια*] Cf. ad p. 121, 16. 24 *χρυσάνηθον* i.e. *χρυσάνθημον*? 25 ss cf. *Cat.*, VII, p. 235; VIII, iii, p. 161 Leg. *ἰουσκιάμους* = *iusquiamus* [Delatte] 28 *ῥοζάδου*] i.e. rosatum *Διός*] nomen animalis expectes [Delatte] 29 *ομ*[...] cod. *βιολάδου*] i.e. violatum 30 *ποιεῖν* cod. 31 *οἱ* suppl. Delatte.

Ἡ ζάμφυρος λίθος διὰ δύναμιν τοῦ πλανήτου αὐτῆς Διὸς συστήνει τὴν καρδίαν ῥιζόθεν καὶ πάντα τὰ μέλη τοῦ ἀνθρώπου. καὶ εἰς θέρμην καὶ εἰς φάρμακον καὶ εἰς ἀντράτζε, εὐθὺς καθίζει εἰς ἐκεῖνο τὸ κακόν, διαφυλάττει τὸ εἶδος καὶ τὴν ἀγάπην. ἐκβάλλει ἀπὸ καρδίας τὸν φόβον καὶ ἰταμὸν ποιεῖ τὸν ἄνθρωπον ταπεινὸν καὶ σώφρονα ἐργάζεται. καὶ εἰς νεγρομάντεις καὶ εἰς μάγους χάριν δίδει. καρδίαν καθαίρει ὡς ἀστραπή. δείκνει βαφὴν οὐρανόχρουν. εἰς αἷμα ῥινὸς ῥέον βαλλομένη εἰς τοὺς κροτάφους τοῦ ἀνθρώπου στήνει τὸ αἷμα. τρόμαξον καὶ ἀπόστημα ὑγιαίνει. πλὴν καθαρῶς αὐτὴν δεῖ βαστάζειν ὁ φορῶν αὐτὴν ἀπὸ πάσης αἰσχρότητος.

Οὗτος ὁ Ζεύς, ὡς ἔφημεν, ἐξουσιάζει τὴν ἀνατολήν, ἔνθα ἔστι τὸ σύνορον τοῦ Σιαμίου, ἤγουν τῆς Αἰγύπτου καὶ τοῦ Χαλαπίου καὶ τῆς μεγάλης Ἀρμενίας, τὴν λεγομένην Αὐγαεινήν, ὄπισθεν εἰς τὴν Αἴγυπτον, εἰς τὴν Αἰθιοπίαν ἕως τὴν θάλασσαν εἰς τὸ † Μόρφιν λεγομένην Κτέρπην. καὶ <ἔχει> ταράτζια ἑβδομήκοντα. καὶ γυρίζει τὸν οὐρανὸν διὰ ιβ΄ χρόνους ἕνα γύρισμα. καὶ εἰς πᾶν ζῴδιον κάθηται μῆνας ι΄. καὶ εἰς οἷον ζῴδιον καθίσῃ, ποιεῖ πολλὰ ἀγαθά. καὶ ὅταν κλώσῃ ἐν τῷ τροχῷ τοῦ οὐρανοῦ, ἐξ ἐναντίας ἔχει τὸν Τοξότην εἰς τὸν Νοέμβριον μῆνα ἡμέραν ϛ΄ καὶ ζ΄, καὶ ἄλλον τὸν Ἰχθὺν κατὰ τὸν Φευρουάρ(ιον) μῆνα εἰς ιθ΄ καὶ κα΄. καὶ εἰσὶν ἀγαθαί. καὶ ἔστι περισσὸς μερίδας σκε΄.

F. 137v. *Περὶ τοῦ πλανήτου Ἄρεως.*

Ὁ δὲ Ἄρης διέπει τῇ τρίτῃ ἡμέρᾳ, ὡς ἔφημεν, καὶ γυρίζει διὰ χρόνους δύο ἥμισυ. καὶ ἔστι τῇ φύσει θερμὸς καὶ ὑγρός. [ἔχει δὲ ἐκ τῶν κλιμάτων τῆς γῆς]

Ἐκ τῶν κλιμάτων ἔχει τὴν Σαρακηνίαν ἕως τῆς Αἰγύπτου τὸ σύνορον.

Ἐκ τῶν μετάλλων ἔχει τὸν σίδηρον.

Ἐκ τῶν πολυτίμων λίθων ἔχει τὴν ἀγάθην.

1 L. *σάπφυρος*] cf. 120, 22 3 *καὶ εἰς* bis repetita cod. 7 *δείκνη* cod. 13 *Σιαμίου* = Sham (Syria); *Χαλαπίου* = Halab (Aleppo) [Honigmann] 8 *Αὐγαείνη* fortasse Uğğayinī (Uzain, civitas Arin), cf. Honigmann, *Sieben Klimata*, p. 104. 16 *Μόρφιν - κτέρπην* quid sit nescimus *ἔχει* suppl. Delatte *ταράτζιον* = Arab. daraǧa = gradus 18 *καθησῃ* cod., cf. v. 3-4 25-26 *ἔχει - γῆς* delevi 30 i.e. *τὸν ἀχάτην*

'Εκ τῶν χορδῶν ἔχει τὴν λεγομένην λιχανόν · λέγεται δὲ καὶ ὑπερμέση χορδή.

'Εκ τῶν ῥιζῶν ἔχει τὸ ἀρνόγλωσσον. ἡ ῥίζα τούτου εἰς κεφαλαλγίαν ὠφέλιμος, καὶ μυρίζει ἔνθα ἂν τεθῇ ἐν οἴκῳ Ἄρεως τῷ Κριῷ, ὅς ἐστι κεφαλὴ παντὸς κόσμου. καὶ ἐστὶν ἀγαθὴ εἰς κακὰ ἤθη καὶ πρήσεις τῶν αἰδοίων καὶ εἰς σήψεις καὶ ἀλγηδόνας, ὅτι ὁ οἶκος αὐτοῦ ἐστι ὁ Σκορπίος καὶ ὅλον τὸ σπέρμα κυριεύει. καὶ εἰς αἱμοπτυϊκοὺς καὶ εἰς θώρακα ὁ ζωμὸς αὐτοῦ πινόμενος ὠφελεῖ.

Περὶ τῆς ἀγάθης λίθου. Ἡ ἀγάθη ἐστὶ μέλαινα τὴν φύσιν μετὰ ἶνας λευκὰς καὶ ἑτέρας ὡς αἷμα πολὺ ποικίλας. καὶ ὁ ποταμὸς Ἀγάθης ἐκ Τζιτζηλίας τὴν δίδει.

Καὶ ἡ ἑτέρα ἀγάθη μὲ ταῖς κιτρίναις ἴναις, καὶ ὁ νεκρομάντις ἀποστρέφει χάλαζαν μετ' αὐτῆς καὶ ποταμούς. καὶ ἡ ἄλλη, ἥπερ ἔχει αἱματηρὰς ἶνας, στηρίζει ὅρασιν καὶ δίψαν ἐκβάλλει · εἰς πῦρ οὐ καίεται, καὶ κατὰ τοῦ φαρμάκου ἐστὶ θεραπευτική. ἐκείνη μὲ τὰς κιτρίνας βένας ποιεῖ τὸν ἄνθρωπον ὑπομένειν ἐν συνουσίαις γυναικῶν, ποιεῖ δύναμιν λόγου καὶ ἀξίαν μεγάλην · εἰς πόλεμον καὶ εἰς ὁμιλίαν ἀγαθή ἐστι. θεμένη εἰς τὸ στόμα λαμβάνει τὴν δίψαν τοῦ ἀνθρώπου. τοὺς ἐχθροὺς ποιεῖ προσπίπτειν τῷ φοροῦντι ταύτην, εἰ μὴ στήσει εἰς τὴν ἐναντίαν φύσιν αὐτῆς.

Οὗτος ὁ πλανήτης ὁ Ἄρης ἔχει ταράτζια μ', καὶ γυρίζει τὸν γύρον του διὰ χρόνους δύο ἥμισυ, καὶ εἰς ἕκαστον ζῴδιον κάθηται ἡμέρας οε', καὶ εἰς οἷον καθήσει, ποιεῖ πολέμους, φόνους, μάχας, σχίσματα καὶ ἀλαζονείας μεγάλας. καὶ ὅταν κλώσῃ ἐν τῷ τροχῷ τοῦ οὐρανοῦ, συναντᾷ τὸν Κριὸν ἐν τῷ Μαρτίῳ μηνὶ ἡμέραν τρίτην καὶ τετάρτην, καὶ ἄλλον τὸν Σκορπίον ἐν τῷ Ὀκτωβρίῳ μηνί, ἡμέρᾳ τρίτῃ καὶ τετάρτῃ. καὶ εἰσὶν οὐκ ἀγαθαί.

Περὶ τοῦ πλανήτου Ἡλίου.

Ὁ δὲ πλανήτης Ἥλιός ἐστι τῇ φύσει θερμὸς καὶ ξηρός, καὶ διέπει τῇ κυριακῇ δι' ὅλης ἡμέρας, ὡς ἔφημεν. καὶ ποιεῖ τὸν γύρον αὐτοῦ διὰ χρόνον ἕνα. ἔχει δὲ ἐκ τῶν μετάλλων τὸν χρυσόν,

3 ss. cf. *Cat.*, VII, p. 234 ; VIII, iii, p. 161. 4 *ὁ* cum signo Arietis. cod. 8 *αἱμοπτοικούς* cod. *αὐτοῦ*, scil. *τοῦ ἀρνογλώσσου* 11 Fluvius Achates in Sicilia 12 *κύτρινες ἶνες* cod. 13-14 *ὅπερ ἔχει* cod. 16 *κύτρινας* cod. 18 *ὁμηλίαν* cod. 22 Leg. *καθίσῃ* 24 *ἀλαζονίας* cod.

ἐκ τῶν κλιμάτων τὴν ἀνατολὴν ἕως τὴν Σιδηρᾶν πύλην, ἐκ τῶν λίθων τοπάζιον, ἐκ τῶν χορδῶν τὴν μέσην διὰ τεσσάρων πρὸς ἀμφότερα ἄκρα, ἐκ τῶν βοτανῶν τὴν ῥίζαν πηλογονίαν · ἕτεροι καμελόντα ὀνομάζουσι · καὶ ποιεῖ εὔμορφα καὶ ὡραῖα πρόσωπα. εἰς τὸν Λέοντα οἶκος τοῦ Ἡλίου. ὠφελεῖ εἰς πόνον καρδίας καὶ στομάχου. εἰς τὸ σημεῖον τοῦ πλανήτη αὐτῆς, ὅταν κυριεύῃ, νὰ τὴν εὐγάλῃς, ὥσπερ καὶ τὰς ἄλλας βοτάνας. ἔμπροσθεν δείξω σοι καὶ ὀνομασίας τῶν ἀγγέλων καὶ εὐχῶν εἰς Θεόν · ὁ ζωμὸς αὐτῆς πινόμενος πλῆθος σπερμαίνειν ποιεῖ καὶ ὀφθαλμῶν πόνον παύει. καὶ ὁ βαστῶν αὐτὴν οὐδένα πόνον ἕξει ἐν ὀφθαλμοῖς. καὶ εἰς φρενῖτιν καὶ εἰς ληθάργους καὶ εἰς παραλύτους καὶ αἷμα στῆσαι καὶ εἰς ἄλλας αἰτίας ἐστὶν ὠφέλιμος

Περὶ τῆς πολυτίμου λίθου τοπάζιον. αἱ ἀκτῖνες τοῦ Ἡλίου εἰς νῆσον τῆς Ἀραβίας ἀκτινοβολοῦσαι τοπάζιον τυποῦνται, τὸ ὁποῖον λαμβάνεται ὅταν ψυχρανθῇ τὸ ὕδωρ, ὅ ἐστι θερ<μόν>...
Cetera desunt.

1 « Porta ferrea » videtur esse claustra quibus Alexander gentes Gog et Magog exclusit [Honigmann] 3 Leg. *πολύγονον*, cf. *Cat.*, VII, p. 233 ; VIII, iii, p. 159 4 L. *χαμαιλέοντα* 7 An *δείξας καὶ εἰπὼν ὀνομασίας* ? Delatte. 9 Cf. supra p. 120. 30. Leg. *σπερμάτων* ? Delatte 11 *φρενίτην* cod. *λιθάργους* cod. 14 *τυτοῦται* ut vid. cod.

EXCERPTA EX CODICE 34 (Matrit. 4616)

F. 74v. *Πυθαγόρου φιλοσόφου ψῆφος περὶ τῶν γεννωμένων βρεφῶν καὶ περὶ ὁμοίας σκέψεως τῶν ἑπτὰ πλανωμένων ἀστέρων, ἵν' ἀπὸ θεωρίας νοῆς ἕκαστον εἰς ποῖον ἀστέρα ἐγεννήθη.*

Ὁ Κρόνος σημαίνει τοιούτους ἄνδρας· μελάγχροας, σκυθρωπούς, σπαδοπώγωνας, κοιλοφθάλμους, γοργούς, ὀχληρούς, μεγαλοφυεῖς, ψεύστας, κακοτρόπους, κλέπτας, ῥέμβους, κακοφρονητάς, λαθροπονήρους, ὑποκριτάς, εὐλαβοσχημάτους ἢ μονάζοντας ἢ ἐκκλησιαστικούς, ἐν δὲ πᾶσι στυγνούς.

Ζεὺς σημαίνει τοιούτους ἄνδρας· ἀξιωματικούς, εὐμεγέθεις, εὐρυμετώπους, χαροποιούς, τρίχας ἔχοντας ἐν τοῖς μυκτῆρσιν, ἀναφαλαντιαίους, μεγαλοκεφάλους, ἀγαθούς, καλοσυμβούλους, φιλελευθέρους, πᾶσι συνερχομένους.

Ἄρης σημαίνει τοιούτους ἄνδρας· εὐμεγέθεις, εὐπόρους, μεγαλοφθάλμους, γοργούς, τραύματα ἐν τῷ σώματι ἔχοντας, θρασεῖς, εὐκαταφρονήτους, πολεμιστάς, ὑπονοητικούς, κακοπαθεῖς, φυσικούς, μοιχούς, πολυπότας, ἐν παντὶ πράγματι κινητικούς. σημαίνει δέ τινας ὑπὸ ζώνην ἤγουν ὑπὸ χλανίδα ἢ ὑπὸ στρατείαν ἐνόπλους εἶναι, δούλων πολλάκις . . γὰρ τὴν θεωρίαν τοῦ σχήματος.

Ἥλιος σημαίνει ἄνδρας εὐειδεῖς, ὡραίους, ἀνδροφθάλμους, ἀγγελτικούς, ταχεῖς, ἀληθεῖς, ὁδοιπορικούς, ἡλικίᾳ συμμέτρους.

Ἀφροδίτη σημαίνει ἄνδρας μικροφυεῖς, ἀξίας πλήρεις, μελιχρόους, μικροφθάλμους, εὐτυχεῖς, μεγαλοψύχους, ἐπαφροδίτους, πλουσίους, ἐπιχαρεῖς, φιλουμένους μάλιστα ὑπὸ γυναικῶν, ἐρωτικούς, μουσικούς, σημεῖον ἀφροδισιαστικὸν ἔχοντας ἐν τῷ σώματι, ἢ ὥσπερ φακούς ἢ καὶ ὑποκαγκελλίζοντας ἐν τῷ σώματι.

Ἑρμῆς σημαίνει ἄνδρας ἔχοντας ἐν τῇ ὄψει φακούς, ἀγγελτικούς, ἐν τῷ λέγειν ταχεῖς, εὐλάλους, ψεύστας, εὐγραμματισμένους, κλέπτας, κυβευτάς, καπηλοδύτας, ἐπιθετάς, πολυλάλους, τῷ σώματι ἰσχυρούς, μακρούς, τραπεζίτας , νομικούς, νοταρίους.

Σελήνη σημαίνει λευκοχρόους, σκέλη ἔχοντας παχέα, πλατυσωμάτους, χονδρούς, κονδοτέρους, εὐοφθάλμους, γυναικοπροσώπους, ἀληθεῖς, εὐφαγεῖς, εὐρύθμους, ἰδιοπράγμονας, καλοσυνήθεις, εὐθέτους παντὶ τῷ σώματι, ὁμιλικοὺς πρὸς γυναῖκας, εὐπροσδέκτους, τραχεῖς καὶ ἀλαζονικωτέρους.

Αἱ ζῶναι τῶν ἑπτὰ πλανητῶν ἀστέρων.

Πρώτην ζώνην ἐπέχει Κρόνος. Δευτέραν ζώνην ἐπέχει Ζεύς.
Τρίτην ζώνην ἐπέχει Ἄρης. Τετάρτην ζώνην ἐπέχει Ἥλιος.
Πέμπτην ζώνην ἐπέχει Ἀφροδίτη. Ἕκτην ζώνην ἐπέχει Ἑρμῆς.
Ἑβδόμην ζώνην ἐπέχει Σελήνη.

F. 75v. *Περὶ τῶν ζ' πλανητῶν καὶ τῶν ἡμέρων τῆς ἑβδομάδος. ψῆφος.*

φνθ' τῇ κυριακῇ Ἥλιος πολεύει.	*τιη'*	*τῇ νυκτὶ Ζεὺς πολ.*	*χβ'*
ωιε' τῇ δευτέρᾳ Σελήνη πολεύει.	*τα'*	*τῇ νυκτὶ Ἀφροδίτη πολ.*	*ϙγ'*
͵αις' τῇ τρίτῃ Ἄρης πολεύει.	*τθ'*	*τῇ νυκτὶ Κρόνος πολ.*	*φι'*
͵αιδ' τῇ τετάρτῃ Ἑρμῆς πολεύει.	*τνγ'*	*τῇ νυκτὶ Ἥλιος πολ.*	*τη'*
φιγ' τῇ πέμπτῃ Ζεὺς πολεύει.	*χιβ'*	*τῇ νυκτὶ Σελήνη πολ.*	*τα'*
τλγ' τῇ παρασκευῇ Ἀφροδίτη πολ.	*ϡϙγ'*	*τῇ νυκτὶ Ἄρης πολ.*	*τθ'*
χκς' τῷ σαββάτῳ Κρόνος πολεύει.	*φι'*	*τῇ νυκτὶ Ἑρμῆς πολ.*	*τνγ'*

Sequuntur tabulae domiciliorum et exaltationum septem planetarum (*οἱ οἶκοι τῶν ζ' πλανήτων καὶ τὰ ὑψωματα*), deinde, f. 76, figura octo circulorum ex eodem centro ductorum et in duodecim partes divisorum, quae ad singulas horas pertinent. In unoquoque spatio signum unius planetae inscriptum est cum numeris horarum, ordine diverso.

Bis invenitur hoc excerptum in codice Matritensi fol. 74 (= M) et fol. 121 (=m) 1 *Τοῦ αὐτοῦ φιλοσόφου* (i.e. *Πυθαγόρου*) M 4 *νοεῖς* m 6 *μελάχροας* M : *μελάχρους* m 7 *ὀχληρούς γόργους* transp. m 12 *χαρωποιούς* M Leg. *χαροπούς* ? 13 *ἀναφαλαντιαίους* scripsi, cf. *Cat.*, VII, p. 112, 8 ; VIII, 4, p. 191, 11 etc. : *ἀναφαλανδρίους* codd. *κακοσυμβούλους* m 14 *συνερχομένοις* codd. 19 *στρατείαν* vix sanum, fortasse *στράτον* = latine, « stratum » 20 Post *πολλάκις* aliquid deesse videtur 25 *εὐαφροδίτους* codd.

---

3 *ὑποκαγκελίζοντας* m 7 *τραπζήτας* m 9 Leg *κοντοστέρους* ? cf. p. 190,15 *κοντόστηθον* : *βραχύστερνον*

F. 76ᵛ Ὧραι ἡμεριναὶ τῆς ἁγίας κυριακῆς.

ὥρα α' Ἥλιος πολεύει καὶ αὐτὸς διέπει.
ὥρα β' Ἥλιος πολεύει, Ἀφροδίτη διέπει.
ὥρα γ' Ἥλιος πολεύει, Ἑρμῆς διέπει.
ὥρα δ' Ἥλιος πολεύει, Σελήνη διέπει.
ὥρα ε' Ἥλιος πολεύει, Κρόνος διέπει.
ὥρα ς' Ἥλιος πολεύει, Ζεὺς διέπει.
ὥρα ζ' Ἥλιος πολεύει, Ἄρης διέπει.
ὥρα η' Ἥλιος πολεύει καὶ αὐτὸς διέπει.
ὥρα θ' Ἥλιος πολεύει, Ἀφροδίτη διέπει.
ὥρα ι' Ἥλιος πολεύει, Ἑρμῆς διέπει.
ὥρα ια' Ἥλιος πολεύει, Σελήνη διέπει.
ὥρα ιβ' Ἥλιος πολεύει, Κρόνος διέπει.

Ὧραι νυκτεριναὶ τῆς κυριακῆς.

ὥρα α' Ζεὺς πολεύει καὶ αὐτὸς διέπει.
ὥρα β' Ζεὺς πολεύει, Ἄρης διέπει.
ὥρα γ' Ζεὺς πολεύει, Ἥλιος διέπει.
ὥρα δ' Ζεὺς πολεύει, Ἀφροδίτη διέπει.
ὥρα ε' Ζεὺς πολεύει, Ἑρμῆς διέπει.
ὥρα ς' Ζεὺς πολεύει, Σελήνη διέπει.
ὥρα ζ' Ζεὺς πολεύει, Κρόνος διέπει.
ὥρα η' Ζεὺς πολεύει καὶ αὐτὸς διέπει.
ὥρα θ' Ζεὺς πολεύει, Ἄρης διέπει.
ὥρα ι' Ζεὺς πολεύει, Ἥλιος διέπει.
ὥρα ια' Ζεὺς πολεύει, Ἀφροδίτη διέπει.
ὥρα ιβ' Ζεὺς πολεύει, Ἑρμῆς διέπει.

β'. Ὧραι ἡμεριναὶ τῆς δευτέρας.

ὥρα α' Σελήνη πολεύει καὶ αὐτὴ διέπει.
ὥρα β' Σελήνη πολεύει, Κρόνος διέπει.
ὥρα γ' Σελήνη πολεύει, Ζεὺς διέπει.
ὥρα δ' Σελήνη πολεύει, Ἄρης διέπει.
ὥρα ε' Σελήνη πολεύει, Ἥλιος διέπει.
ὥρα ς' Σελήνη πολεύει, Ἀφροδίτη διέπει.
ὥρα ζ' Σελήνη πολεύει, Ἑρμῆς διέπει.

ὥρα η' Σελήνη πολεύει καὶ αὐτὴ διέπει.
ὥρα θ' Σελήνη πολεύει, Κρόνος διέπει.
ὥρα ι' Σελήνη πολεύει, Ζεὺς διέπει.
ὥρα ια' Σελήνη πολεύει, Ἄρης διέπει.
ὥρα ιβ' Σελήνη πολεύει, Ἥλιος διέπει.

Ὧραι νυκτεριναὶ τῆς δευτέρας.

ὥρα α' Ἀφροδίτη πολεύει καὶ αὐτὴ διέπει.
ὥρα β' Ἀφροδίτη πολεύει, Ἑρμῆς διέπει.
ὥρα γ' Ἀφροδίτη πολεύει, Σελήνη διέπει.
ὥρα δ' Ἀφροδίτη πολεύει, Κρόνος διέπει.
ὥρα ε' Ἀφροδίτη πολεύει, Ζεὺς διέπει.
ὥρα ς' Ἀφροδίτη πολεύει, Ἄρης διέπει.
ὥρα ζ' Ἀφροδίτη πολεύει, Ἥλιος διέπει.
ὥρα η' Ἀφροδίτη πολεύει καὶ αὐτὴ διέπει.
ὥρα θ' Ἀφροδίτη πολεύει, Ἑρμῆς διέπει.
ὥρα ι' Ἀφροδίτη πολεύει, Σελήνη διέπει.
ὥρα ια' Ἀφροδίτη πολεύει, Κρόνος διέπει.
ὥρα ιβ' Ἀφροδίτη πολεύει, Ζεὺς διέπει.

γ'. Ὧραι ἡμεριναὶ τῆς τρίτης.

ὥρα α' Ἄρης πολεύει καὶ αὐτὸς διέπει.
ὥρα β' Ἄρης πολεύει, Ἥλιος διέπει.
ὥρα γ' Ἄρης πολεύει, Ἀφροδίτη διέπει.
ὥρα δ' Ἄρης πολεύει, Ἑρμῆς διέπει.
ὥρα ε' Ἄρης πολεύει, Σελήνη διέπει.
ὥρα ς' Ἄρης πολεύει, Κρόνος διέπει.
ὥρα ζ' Ἄρης πολεύει, Ζεὺς διέπει.
ὥρα η' Ἄρης πολεύει καὶ αὐτὸς διέπει.
ὥρα θ' Ἄρης πολεύει, Ἥλιος διέπει.
ὥρα ι' Ἄρης πολεύει, Ἀφροδίτη διέπει.
ὥρα ια' Ἄρης πολεύει, Ἑρμῆς διέπει.
ὥρα ιβ' Ἄρης πολεύει, Σελήνη διέπει.

Ὧραι νυκτεριναὶ τῆς τρίτης.

ὥρα α' Κρόνος πολεύει καὶ αὐτὸς διέπει.
ὥρα β' Κρόνος πολεύει, Ζεὺς διέπει.

ὥρᾳ γ' Κρόνος πολεύει, Ἄρης διέπει.
ὥρᾳ δ' Κρόνος πολεύει, Ἥλιος διέπει.
ὥρᾳ ε' Κρόνος πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ ς' Κρόνος πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ ζ' Κρόνος πολεύει, Σελήνη διέπει.
ὥρᾳ η' Κρόνος πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ θ' Κρόνος πολεύει, Ζεὺς διέπει.
ὥρᾳ ι' Κρόνος πολεύει, Ἄρης διέπει.
ὥρᾳ ια' Κρόνος πολεύει, Ἥλιος, διέπει.
ὥρᾳ ιβ' Κρόνος πολεύει, Ἀφροδίτη διέπει.

δ'. Ὧραὶ ἡμεριναὶ τῆς τετάρτης.

ὥρᾳ α' Ἑρμῆς πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ β' Ἑρμῆς πολεύει, Σελήνη διέπει.
ὥρᾳ γ' Ἑρμῆς πολεύει, Κρόνος διέπει.
ὥρᾳ δ' Ἑρμῆς πολεύει, Ζεὺς διέπει.
ὥρᾳ ε' Ἑρμῆς πολεύει, Ἄρης διέπει.
ὥρᾳ ς' Ἑρμῆς πολεύει, Ἥλιος διέπει.
ὥρᾳ ζ' Ἑρμῆς πολεύει, Κρόνος διέπει.
ὥρᾳ η' Ἑρμῆς πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ θ' Ἑρμῆς πολεύει, Σελήνη διέπει.
ὥρᾳ ι' Ἑρμῆς πολεύει, Κρόνος διέπει.
ὥρᾳ ια' Ἑρμῆς πολεύει, Ζεὺς διέπει.
ὥρᾳ ιβ' Ἑρμῆς πολεύει, Ἄρης διέπει.

Ὧραὶ νυκτεριναὶ τῆς τετάρτης.

ὥρᾳ α' Ἥλιος πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ β' Ἥλιος πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ γ' Ἥλιος πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ δ' Ἥλιος πολεύει, Σελήνη διέπει.
ὥρᾳ ε' Ἥλιος πολεύει, Κρόνος διέπει.
ὥρᾳ ς' Ἥλιος πολεύει, Ζεὺς διέπει.
ὥρᾳ ζ' Ἥλιος πολεύει, Ἄρης διέπει.
ὥρᾳ η' Ἥλιος πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ θ' Ἥλιος πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ ι' Ἥλιος πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ ια' Ἥλιος πολεύει, Σελήνη διέπει.

ὥρᾳ ιβ' Ἥλιος πολεύει, Κρόνος διέπει.

ε'. Ὧραι ἡμεριναὶ τῆς πέμπτης.

ὥρᾳ α' Ζεὺς πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ β' Ζεὺς πολεύει, Ἄρης διέπει.
ὥρᾳ γ' Ζεὺς πολεύει, Ἥλιος διέπει.
ὥρᾳ δ' Ζεὺς πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ ε' Ζεὺς πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ ς' Ζεὺς πολεύει, Σελήνη διέπει.
ὥρᾳ ζ' Ζεὺς πολεύει, Κρόνος διέπει.
ὥρᾳ η' Ζεὺς πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ θ' Ζεὺς πολεύει, Ἄρης διέπει.
ὥρᾳ ι' Ζεὺς πολεύει, Ἥλιος διέπει.
ὥρᾳ ια' Ζεὺς πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ ιβ' Ζεὺς πολεύει, Ἑρμῆς διέπει.

Ὧραι νυκτεριναὶ τῆς πέμπτης.

ὥρᾳ α' Σελήνη πολεύει καὶ αὐτὴ διέπει.
ὥρᾳ β' Σελήνη πολεύει, Κρόνος διέπει.
ὥρᾳ γ' Σελήνη πολεύει, Ζεὺς διέπει.
ὥρᾳ δ' Σελήνη πολεύει, Ἄρης διέπει.
ὥρᾳ ε' Σελήνη πολεύει, Ἥλιος διέπει.
ὥρᾳ ς' Σελήνη πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ ζ' Σελήνη πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ η' Σελήνη πολεύει καὶ αὐτὴ διέπει.
ὥρᾳ θ' Σελήνη πολεύει, Κρόνος διέπει.
ὥρᾳ ι' Σελήνη πολεύει, Ζεὺς διέπει.
ὥρᾳ ια' Σελήνη πολεύει, Ἄρης διέπει.
ὥρᾳ ιβ' Σελήνη πολεύει, Ἥλιος διέπει.

Ὧραι ἡμεριναὶ τῆς παρασκευῆς.

ὥρᾳ Ἀφροδίτη πολεύει καὶ αὐτὴ διέπει.
ὥρᾳ β' Ἀφροδίτη πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ γ' Ἀφροδίτη πολεύει, Σελήνη διέπει.
ὥρᾳ δ' Ἀφροδίτη πολεύει, Κρόνος διέπει.

ὥρᾳ ε' Ἀφροδίτη πολεύει, Ζεὺς διέπει.
ὥρᾳ ς' Ἀφροδίτη πολεύει, Ἄρης διέπει.
ὥρᾳ ζ' Ἀφροδίτη πολεύει, Ἥλιος διέπει.
ὥρᾳ η' Ἀφροδίτη πολεύει καὶ αὐτὴ διέπει.
ὥρᾳ θ' Ἀφροδίτη πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ ι' Ἀφροδίτη πολεύει, Σελήνη διέπει.
ὥρᾳ ια' Ἀφροδίτη πολεύει, Κρόνος διέπει.
ὥρᾳ ιβ' Ἀφροδίτη πολεύει, Ζεὺς διέπει.

Ὧραι νυκτεριναὶ τῆς παρασκευῆς.

ὥρᾳ α' Ἄρης πολεύει καὶ αὐτὸς διέπει,
ὥρᾳ β' Ἄρης πολεύει, Ἥλιος διέπει.
ὥρᾳ γ' Ἄρης πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ δ' Ἄρης πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ ε' Ἄρης πολεύει, Σελήνη διέπει.
ὥρᾳ ς' Ἀάρης πολεύει, Κρόνος διέπει.
ὥρᾳ ζ' Ἄρης πολεύει, Ζεὺς διέπει.
ὥρᾳ η' Ἄρης πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ θ' Ἄρης πολεύει, Ἥλιος διέπει.
ὥρᾳ ι' Ἄρης πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ ια' Ἄρης πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ ιβ' Ἄρης πολεύει, Σελήνη διέπει.

Ὧραι ἡμεριναὶ τοῦ σαββάτου.

ὥρᾳ α' Κρόνος πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ β' Κρόνος πολεύει, Ζεὺς διέπει.
ὥρᾳ γ' Κρόνος πολεύει, Ἄρης διέπει.
ὥρᾳ δ' Κρόνος πολεύει, Ἥλιος διέπει.
ὥρᾳ ε' Κρόνος πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ ς' Κρόνος πολεύει, Ἑρμῆς διέπει.
ὥρᾳ ζ' Κρόνος πολεύει, Σελήνη διέπει.
ὥρᾳ η' Κρόνος πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ θ' Κρόνος πολεύει, Ζεὺς διέπει.
ὥρᾳ ι' Κρόνος πολεύει, Ἄρης διέπει.
ὥρᾳ ια' Κρόνος πολεύει, Ἥλιος διέπει.
ὥρᾳ ιβ' Κρόνος πολεύει, Ἀφροδίτη διέπει.

Ὧραι νυκτεριναὶ τοῦ σαββάτου

ὥρᾳ α' Ἑρμῆς πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ β' Ἑρμῆς πολεύει, Σελήνη διέπει.
ὥρᾳ γ' Ἑρμῆς πολεύει, Κρόνος διέπει.
ὥρᾳ δ' Ἑρμῆς πολεύει, Ζεὺς διέπει.
ὥρᾳ ε' Ἑρμῆς πολεύει, Ἄρης διέπει.
ὥρᾳ ς' Ἑρμῆς πολεύει, Ἥλιος διέπει.
ὥρᾳ ζ' Ἑρμῆς πολεύει, Ἀφροδίτη διέπει.
ὥρᾳ η' Ἑρμῆς πολεύει καὶ αὐτὸς διέπει.
ὥρᾳ θ' Ἑρμῆς πολεύει, Σελήνη διέπει.
ὥρᾳ ι' Ἑρμῆς πολεύει, Κρόνος διέπει.
ὥρᾳ ια' Ἑρμῆς πολεύει, Ζεὺς διέπει
ὥρᾳ ιβ' Ἑρμῆς πολεύει, Ἄρης διέπει.

F. 78. Κατασκεύασις καὶ παρατήρησις τῶν ὡρῶν, πῶς δεῖ ἡμᾶς ἀναστρέφεσθαι.

Ὥρα τοῦ Ἡλίου οὐκ ἔχει παρατήρησιν ἐν παντὶ πράμγματι ἐπιτελουμένῳ, διὸ τὰ πάντα καλὰ τυγχάνει . ἔστι δὲ εἰς τὸ πλεῦσαι ἀπαρατήρητος καὶ ἐν ὁδῷ, καὶ ἔχει ἐν αὐτῇ ἄνεσιν.

Ὥρα Ἀφροδίτης ἐν παντὶ πράγματι καλὴ καὶ τερπνή, καὶ καλῶς κεῖται, καὶ ἔχει ἐν αὐτῇ ὁμοίως ἄνεσιν, καὶ πρὸς φιλίαν τινὰ προσέρχεσθαι καλή ἐστιν.

Ὥρα Σελήνης ἐν παντὶ πράγματι καλὴ καὶ ἀληθής ἐστιν, καὶ πᾶν τὸ γινόμενον ἐν αὐτῇ σταθηρόν ἐστι καὶ ἵσταται.

Ὥρα τοῦ Ἑρμοῦ. ἱλαρά, καλή ἐστιν ἐν ψήφοις, βαρεῖα δὲ ἐν ἄλλοις πράγμασιν.

Ὥρα Κρόνου ἐν παντὶ πράγματι κακὴ καὶ βλαπτική, καὶ ἔστι σταθηρὸν τὸ γενόμενον ἐν αὐτῇ.

Ὥρα Διὸς ἐν παντὶ πράγματι καλὴ καὶ τερπνὴ καὶ ἔχουσα προφάσεις καὶ ἀνέσεις δανεῖσαι, καὶ εἰς ὑγρίαν καὶ ψήφους. καὶ πάντα τὰ γινόμενα ἐν αὐτῇ σταθηρά ἐστιν.

Ὥρα Ἄρεως οὐδὲν τερπνὸν ἐπιτελούμενον ἔχει ἐν αὐτῇ. πλήρης δέ ἐστι ταράχου καὶ ἀηδίας, καὶ ἐν πάσῃ θεωρίᾳ ἀηδής ἐστιν.

---

26 κακή scripsi : καλή cod. 27 αὐτῷ cod. 32 ἀειδής cod.

῾Ωρολόγιον τῶν ἑπτὰ πλανητῶν ἀστέρων.

῞Οτι ὁ Κρόνος τῷ σαββάτῳ ἐπέχει ὅλην τὴν ἡμέραν, διέπει δὲ ὥραν πρώτην καὶ ὀγδόην καὶ διέρχεται διὰ λ′ ἐτῶν τὰ ιβ′ ζῴδια. — Κρόνος. ὥρᾳ πρώτῃ καὶ ὀγδόῃ τῷ σαββάτῳ πολεύει καὶ διέπει Κρόνος. ἐν ταύταις ταῖς δυσὶν ὥραις οὐδὲν καλὸν ποιεῖν · εἰσὶ γὰρ κακαί. ὅσον ἂν δύνῃ, κράτει σαυτὸν καὶ ἀποχώρει ἀπὸ παντὸς πράγματος · ἐν ταύταις ταῖς ὥραις παρατηροῦσι μάλιστα καὶ τοῦ μηνὸς ᾿Απριλίου, Μαΐου, Σεπτεμβρίου, Νοεμβρίου, ᾿Ιανουαρίου καὶ Μαρτίου. ὁμοίως δὲ καὶ τὰς ὥρας τοῦ ῎Αρεως. οὗτοι γὰρ οἱ δύο ἀστέρες ἐναντίοι εἰσίν, οἳ καὶ τοὺς θανάτους ἐπάγουσιν, ὅταν μάλιστα ἡ Σελήνη συμμαρτυρῇ αὐτοῖς. ἐὰν δὲ ἀνάγκη σοί ἐστιν, ἐν ὥρᾳ τοῦ ῾Ερμοῦ ἢ τοῦ ῾Ηλίου ἢ τοῦ Διὸς λάμβανε, εἰ μή τι μέλλεις ἄδικον πρᾶγμα, κἂν χρή σε λαβεῖν, ὥρᾳ Κρόνου ἢ ῎Αρεως. εἴ τις ἐπὶ ἀρχήν τινα καλὴν ὥρας Κρόνου ἢ ῎Αρεως λαβεῖν προσέλθῃ, οὐδὲν πρᾶξαι δυνήσεται. ἐν ταύταις ταῖς ὥραις δοῦλος ἐὰν ἀποδράσῃ, εὑρεθήσεται ἀρρωστῶν καὶ κακῶς διακείμενος. ἐν ταύταις ταῖς δύο ὥραις εἰς ἐργασίαν μὴ ἀπέρχου, δοῦλον μὴ ἀγοράσῃς, μηδὲ ἄλλο τι μηδὲν τὸ σύνολον. κλοπιμαῖόν τι οὐχ εὑρεθήσεται. ὁ εἰς νόσον ἐμπεσὼν πολὺν χρόνον νοσήσει καὶ πολλὰ παραλλάσσει. ἅπαντα παρατηροῦ. εἰ δὲ θέλεις πράξειν μάχην, ἑαυτὸν ἐπισπᾶσαι ἤ τινα μεθοδεῦσαι, βλαβήσῃ Κρόνου ὥρᾳ, ἄν τε ἡμέρας, ἄν τε νυκτός · τὸ γεννηθὲν παιδίον ἔσται εὐμεγεθές, κεφαλὴν μεγάλην ἔχον, μικρόμματον, πόδας πατζούς. ἐν ταύταις ταῖς ὥραις ἐὰν φιλονεικοῦντες εἰς κριτήριον ἀπέλθωσιν, ἀκατάλλαγοι ἔσονται · διαθήκην ὁ ποιήσας οὐκ ἐπιτεύξεται.

῞Οτι ὁ ῞Ηλιος δι᾽ ἐνιαυτὸν διέρχεται τὰ ιβ′ ζῴδια, καὶ ἔχει ἐν ταῖς ἡμέραις τὴν κυριακὴν καὶ εἰς <αὐτὴν> τὴν πρώτην ὥραν καὶ τὴν η′. ὥρᾳ πρώτῃ καὶ ὀγδόῃ τῆς ἁγίας κυριακῆς ῞Ηλιος πολεύει καὶ αὐτὸς διέπει. ὧραι ἀγαθαί εἰσι πρὸς πάντα. μεθοδεύοντες νικήσουσι. τοῖς δέ θέλουσι κρυφιμαῖόν τι πράττειν οὐ συμφέρει · φανερωθήσεται γάρ (1). κοινωνίαν ποιοῦ · ξενιτείαν πάρεχε, ἐξόρμα

8 Lege κατὰ τοὺς μῆνας? 22-23 ἡμέρα cod. 25 Leg. ἀκατάλλακτοι? Delatte. 29 αὐτὴν suppl. 32 κρυφημαῖον cod.

(1) Cf. Cumont, *Il sole vindice dei delitti* [Memorie Accad. Rom. di Archeologia, I, 1933] p. 67 n. 21.

ὅπου δ᾽ ἂν βούλει ὁδοιπορείαν κατὰ γῆν καὶ θάλατταν. οἰκοδόμης ἄρχου · μισθοὺς λάμβανε, ἵππους δάμαζε καὶ βόας. πρόβατα δὲ μὴ κείρῃς · παιδίον εἰς μάθησιν παραδίδου, Θεῷ προσεύχου, φυτὰ φύτευσον..........

F. 79^{v}. ᾿Εκ τοῦ ᾿Αράτου. Γίνωσκε ὅτι ἀπὸ κα′ Μαρτίου δέχεται ὁ Κριὸς τὸν ῞Ηλιον. καὶ ἐὰν θέλ(ῃς) γνῶναι πότε ἀλλάσσει ἀπὸ ζῳδίου εἰς ζῴδιον ὁ ῞Ηλιος, ἀπόδος ἑκάστῳ ζῳδίῳ ἀπὸ κα′ Μαρτίου ἀνὰ ἡμέρας λ′, καὶ εὑρήσεις ἐν ἑκάστῳ ζῳδίῳ πόσας μοίρας ἔχει ὁ ῞Ηλιος, ἤγουν Κριῷ, Μαρτίου κα′ ὥρᾳ νυκτερινῇ δ′. καὶ μένει ἐν Κριῷ ἡμέρας λε′, ὥρας ε′ · εἰς τὸν. Ταῦρον ᾿Απρ(ιλίου κα′) ὥρᾳ νυκτερινῇ θ′ καὶ μένει ἐν Ταύρῳ ἡμέρας λα′ ὥρας* εἰς τοὺς Διδύμους Μαΐου κβ′ ὥρᾳ ἡμερινῇ ιβ′ καὶ μένει ἐν Διδύμοις ἡμέρας λα′ ὥρας ις′. εἰς τὸν Καρκίνον ᾿Ιουνίου κγ′ ὥρᾳ νυκτερινῇ δ′ · καὶ μένει ἐν Καρκίνῳ ἡμέρας λα′ ὥρας ι′. εἰς τὸν Λέοντα ᾿Ιουλίου κδ′ ὥρᾳ νυκτερινῇ β′, καὶ μένει ἐν Λέοντι ἡμέρας λ′ ὥρας κδ′. εἰς τὴν Παρθένον Αὐγούστου κδ′ ὥρᾳ ἡμερινῇ ιδ′ καὶ μένει ἐν Παρθένῳ ἡμέρας λ′ ὥρας ιε′. εἰς τὸν Ζυγὸν Σεπτεμβρίου κγ′ ὥρᾳ νυκτερινῇ δ′ καὶ μένει ἐν Ζυγῷ ἡμέρας κθ′ ὥρας ις′. εἰς τὸν Σκορπίον ᾿Οκτωβρίου κγ′ ὥρᾳ ἡμερινῇ η′ καὶ μένει ἐν Σκορπίῳ ἡμέρας κθ′ ὥρας ζ′. εἰς τὸν Τοξότην Νοεμβρίου κα′ ὥρᾳ νυκτερινῇ ζ′ καὶ μένει ἐν Τοξότῃ ἡμέρας κθ′ ὥρας δ′. εἰς τὸν Αἰγόκερων Δεκεμβρίου κ′ ὥρᾳ ἡμερινῇ β′ καὶ μένει ἐν Αἰγόκερῳ ἡμέρας κθ′ ὥρας ιδ′. εἰς τὸν ῾Υδροχόον ᾿Ιανουαρίου ιθ′ ὥρᾳ ἡμερινῇ ς′ καὶ μένει ἐν ῾Υδροχόῳ ἡμέρας λ′ ὥρας ις′. εἰς τοὺς ᾿Ιχθύας Φεβρουαρίου ιη′ ὥρᾳ νυκτερινῇ ι′ καὶ μένει ἐν ᾿Ιχθύσιν ἡμέρας λ′ ὥρας ς′.

᾿Εὰν δὲ θέλῃς γνῶναι καθ᾽ ἑκάστην ἡμέραν ἐν ποίῳ ζῳδίῳ ἀνατέλλει καὶ πόσα ζῴδια διέρχεται τὴν ἡμέραν καὶ πόσα τὴν νύκτα, ποίει οὕτως · ἐὰν εὕρῃς ἑκάστου ἀριθμοῦ τὸν τριακοστὸν ἐν ποίῳ ζῳδίῳ ἐστὶν ὁ ῞Ηλιος ἐν αὐτῷ, καθ᾽ ἑκάστην ἡμέραν ἀπόδος τῷ ζῳδίῳ ἐκείνῳ α′ β′ καὶ τῷ μετ᾽ ἐκεῖνον γ′, δ′, καὶ οὕτως καθεξῆς ἕως τῶν ιβ′, ἀπόδος ἑκάστῳ ζῳδίῳ β′ ὥρας. — Οἷον · ἀνατέλλει ὁ

4 Post haec vacant huius paginae duae partes; in ima pagina: *Διὰ τὸ τοῦ πρωτοτύπου σκοτεινὸν οὐκ ἔσχε τέλος* etc. (cf. supra p.58). 6 θελ.[..] evanid. 10-11 Post ἀπρ lacuna in cod. 12 Numerus horarum deest 12 εἰς τὸν cum signo Geminorum cod. 24-25 εἰς τὸν cum signo Piscium cod. 29 ἀριθμοῦ] Leg. μηνός ? Delatte.

Ἥλιος ἐν Διδύμοις, ἀπόδος α' καὶ β' Διδύμοις. γ' δ' Καρκίνῳ, ε' ς' Λέοντι, ζ' η' Παρθένῳ, θ' καὶ ι' Ζυγῷ, ια' ιβ' Σκορπίῳ καὶ πάλιν ὥρας α' καὶ β' νυκτερινὰς Τοξότῃ, γ' δ' Αἰγόκερῳ, ε' ς' Ὑδροχόῳ, ζ' η' Ἰχθύσι, θ' ι' Κριῷ, ια' ιβ' <Ταύρῳ> καὶ ἀνατέλλει ὁ Ἥλιος ἐν Διδύμοις.

Τῶν ιβ' ζῳδίων· αἱ στάσεις (1)			Αἱ ζῶναι τῶν ζ' ἀστέρων. (2)
Α	Κριός	Ν	Λάμπων Κρόνος α' ζώνην ἐπέχει.
Β	Ταῦρος	Ξ	Φαέθων Ζεὺς β'.
Δ	Καρκίνος	Π	Πυρόεις Ἄρης γ'.
Ε	Λέων	Ρ	Ἥλιος δ'.
Ζ	Παρθένος	Σ	Κάλλιστος Ἀφροδίτη ε'.
Η	Ζυγός	Τ	Στίλβων Ἑρμῆς ς'.
Θ	Σκορπίος	Υ	Σελήνη ζ'.
Ι	Τοξότης	Φ	
Κ	Αἰγόκερως	Χ	
Λ	Ὑδροχόος	Ψ	
Μ	Ἰχθύες	Ω	

Circuli in commune centrum circumacti, inter quos sunt signa septem planetarum et duodecim astrorum zodiaci.

F. 80. *Περὶ μοιρῶν καὶ ζῳδίων.*

α ν Κριός. ὁ γεννώμενος μοίρᾳ δ' ἔσται χωλὸς τὸν δεξιὸν πόδα.
β ξ Ταῦρος. ὁ γεννώμενος μοίρᾳ ε' ἔσται τυφλός.
γ ο Δίδυμοι. ὁ γεννώμενος μοίρᾳ ς' ἔσται θηριάλωτος.
δ π Καρκίνος. ὁ γεννώμενος μοίρᾳ κζ' ὑπὸ ληστῶν ἢ θηρίων ἀδικηθήσεται.
ε ρ Λέων ὁ γεννώμενος μοίρᾳ ι' ἔσται βασιλεύς. ἐὰν δὲ τῇ α', ἔσται ὀζόστομος καὶ ἀδρανὴς περὶ λόγους.

4 *Ταύρῳ* omis. cod. Col. b, 10 *πυρόης ἄρις* cod. 13 *Στίλβων* corr. : *ὁ στέμων* cod.

(1) De necessitudine signorum zodiaci cum litteris alphabeti cf. *Cat. astr.*, VII, p. 161 ; Boll, *Sphaera*, p. 469 ; Dornseiff, *Das Alphabet in Mystik*, 1922, p. 84.

(2) Mira sunt nomina *Λάμπων* Saturni et *Κάλλιστος* Veneris pro *Φαίνων* et *Φωσφόρος*, sed haec ex Malala (p. 25 Bonn) scriptor hausit, qui illa nomina Manethoni tribuit, vel ex alio chronographo quodam ; cf. Cramer, *Anecdota Parisina*, t. II, p. 237, 20 ss., ubi similiter *στέμων* pro *στίλβων* legitur.

ζ σ Παρθένος. ὁ γεννώμενος μοίρᾳ α' ἔσται βιοθάνατος.
η τ Ζυγός. ὁ γεννώμενος μοίρᾳ α' ἔσται βιοθάνατος.
θ υ Σκορπίος. ὁ γεννώμενος μοίρᾳ κδ' ἔσται τυφλός.
ι φ Τοξότης. ὁ γεννώμενος μοίρᾳ δ' ἔσται τυφλός, κἂν..... λέγε τὸν πατέρα τυφλόν.
κ χ Αἰγόκερως. ὁ γεννώμενος μοίρᾳ β' ἔσται πνιξιμαῖος.
λ ψ Ὑδροχόος. ὁ γεννώμενος μοίρᾳ ζ' ἔσται ἀδρανὴς περὶ λόγους.
κ ω Ἰχθύες. ὁ γεννώμενος μοίρᾳ γ' ἔσται λεπρός.

Περὶ τῶν τεσσάρων στοιχείων τῆς κτίσεως τοῦ κόσμου, καὶ τῶν ιβ' ζῳδίων καὶ τῶν ἀνέμων.

Ἐκ τεσσάρων στοιχείων συνίσταται ἡ κτίσις· γῆς, ὕδατος, πυρὸς καὶ ἀέρος, ἐξ ὧν ὁμοφυεῖς ἄνεμοι.
θερμὸν καὶ ξηρὸν ἐκ τοῦ πυρός, Κριός, Λέων, Τοξότης. λίβας.
ψυχρὰ καὶ ξηρὰ ἐκ τῆς γῆς. Ταῦρος, Παρθένος, Αἰγόκερως. βορρᾶς.
θερμὸς καὶ ὑγρὸς ἐκ τοῦ ἀέρος. Δίδυμοι, Ζυγός, Ὑδροχόος. νότος.
ψυχρὸν καὶ ὑγρὸν ἐκ τοῦ ὕδατος. Καρκίνος, Σκορπίος, Ἰχθύες. εὖρος.

[Sequitur additamentum Lascaris manu exaratum :
Ἐν τῷ Κρόνῳ τὸ λογικὸν καὶ θεωρητικὸν βασιλεύει, ἐν τῷ Διὶ τὸ πρακτικὸν καὶ πᾶσα δύναμις τοῦ πράττειν, ἐν τῷ Ἄρει τὸ θυμικόν, ἐν τῷ Ἡλίῳ τὸ αἰσθητικὸν καὶ φανταστικόν, ἐν τῇ Ἀφροδίτῃ τὸ ἐπιθυμητικόν, ἐν τῷ Ἑρμῇ τὸ ἑρμηνευτικόν, ἐν τῇ Σελήνῃ τὸ φυτικὸν καὶ αὐξητικόν.]

F. 80v. *Πυθαγόρου φιλοσόφου περὶ μορφῶν καὶ σημείων τῶν ιβ' ζῳδίων, ὅπως ἀπὸ θεωρίας ἑκάστου μάθῃς ὁποῖον ζῴδιον ἔχεις καὶ τὴν πρᾶξιν αὐτοῦ.*

Κριοῦ οἱ ἔχοντες ζώδιόν εἰσι τὰ πρόσωπα ὑπομήκεις, μυκτῆρσι καθελκόμενοι, κατάροποι, ὑπέρυθροι, πλατυμέτωποι, ἀνα-

4 Post *κἂν* lac. circa V litt. cod. 6 *πνιξιμαῖος* verbum novum = asthmaticus ? 12 *κίνησις*, cod., corr. Delatte, cf. v. 9-10. 24 ss. M = cod. Matrit., f. 80v ; m = idem cod., f. 121v usque ad p. 136, 29. 24 *Πυθαγόρου φιλοσόφου* m : *Τοῦ αὐτοῦ* M 27 *ἔχει* M : *ἔχοι* m, corr. 28-29 Leg. *μυκτῆρας* ? cf. p. 137, 15-16 29 *κατάροποι* M : *κατάρωποι* m. Leg. *χαροποί* ?

φαλάνδες, χείλη λεπτὰ ἔχοντες, χαροποιοί, πανωραῖοι, μελανόφθαλμοι, φωνὴν ἀνειμένοι, φύσει εὔχρηστοι ἐν τῇ δωρεᾷ, κλίνοντες ἀπὸ τῶν κνημῶν, κατάσαρκοι, φυσικοί, πατρικὰ καταλλάσσοντες, πολύτριχοι, πρὸς γῆν ὁρῶντες, δασεῖς, εὔμηκοι ἐν τῷ προσώπῳ, κατωφανεῖς, δειλοὶ τῇ καρδίᾳ, παιγνιῶται, καλόψυχοι, συμβαλλομάχοι· ταῖς δὲ πράξεσι δοξαστικοί, ἀνδρεῖοι, ὠμοί, παράβολοι, στρατηλάται, ἅρπαγες καὶ ἐκ λαφύρων τὸν βίον ἔχοντες, εἰσὶ δὲ καὶ μεταβολικοί.

Ταύρου οἱ ἔχοντες ζῴδιόν εἰσι πλατυμέτωποι, μυκτῆρσι μείζονες, εὐπληθεῖς τῷ προσώπῳ, ὀξυγένειοι, μεγαλόφθαλμοι, τράχηλον παχὺν τετράγωνον, δειλοὶ τῇ ψυχῇ, λεπτοὶ τῇ φύσει, βοώδεις, πάντα βίᾳ ἀποτελοῦντες, πολυφάγοι, πολλοὶ ὑπὸ δουλείαν πεπτωκότες καὶ ἐπὶ πολλὰς χώρας πλανώμενοι. ἡ δὲ ῥὶς αὐτῶν μακρὰ καὶ οἱ μυκτῆρες ἀνεῳγμένοι, εὐρυμέτωποι (ἔξω δὲ αὐτὸ ἔχουσι)· βριαροί, ψεῦσται δὲ καὶ ἐπιθέται καὶ τῇ κακίᾳ ἄφθαστοι, ἔνδον ἔχοντες τὴν κακίαν, πετασμένας ἔχοντες τὰς χεῖρας, πόρνοι, κακογνώμονες, ὅλα τὰ ἐπιτηδεύματα αὐτῶν ἀπολ(ωλότες), φανερὰν ἁρπαγὴν ἔχοντες· ταῖς δὲ πράξεσι γίνονται καὶ ἐπίδοξοι, φιλήδονοι, ἐπαφροδῖται, ἱερεῖς, ἔντεχνοι, φρόνιμοι, πλούσιοι, πολύγονοι.

Διδύμων οἱ ἔχοντες ζῴδιόν εἰσι τὸ πρόσωπον ἐρυθροί, εὐόφθαλμοι, εὐχαρίστους ὀφθαλμοὺς ἔχοντες καὶ τὰ βλέφαρα μακρά, εὔχροοι, μέσοι τῇ ἡλικίᾳ, λεπτακινεῖς, λευκόσωμοι, στέρνα πλατεῖα διῃρημένα ἀπ' ἀλλήλων <ἔχοντες>, εἰς πάντα τολμηροί· ταῖς δὲ πράξεσι σώφρονες, εὐπαίδευτοι, ἔνδοξοι, ἱκανοί, λόγιοι, δυνάσται, ῥήτορες, φιλόσοφοι, γραμματικοί, φιλοπαλαιστρῖται, ἀπὸ δόσεως καὶ λήψεως τὸν βίον ἔχοντες.

Καρκίνου οἱ ἔχοντες ζῴδιον ἔχουσι σημεῖα τοιαῦτα· μεγάλους ἁρμοὺς καὶ ὀστᾶ παχέα, τρίχας δασεῖς καὶ οὐλάς, πρόσωπα μεγάλα. εἰσὶ δὲ καὶ μελάγχροοι, κοιλόφθαλμοι, πλατυκέφαλοι, ἱλαροί, εὐκατάφοροι εἰς τὰ ἀφροδίσια, φρονοῦντες, δόλιοι, στερρόψυχοι, βάσκανοι, κερδόφιλοι, δανεισταί, εἰς κανόνα ἐρχόμενοι καὶ τοῖς πράγμασιν ἀνθρωπινώτεροι, μεγαλοπρόσωποι, στρεβλοὺς τοὺς

---

1 *ἀναφαλάνδες* pro *ἀναφάλαντοι χαρωποιοί* (o super ω) M   2 *ἀνειμένοι* scripsi : *ἀνειμένην* codd.   9 *εἰσὶ δὲ* m   9-10 *μείζονος* codd.   10 An *τράχηλον παχεῖς, τετράγωνοι*? Cf. p.137, 1   11 *βοώδης* codd., corr.   15 *αὐτὸ* corr. ; *αὐτά* cod.   *βρυαροί* codd.   18 *ἀπωλ*[...] cod.   21 *Διδύμους* codd.   22 Post *μακρὰ*] *ἔχοντες* iter. m   24 *ἀπ'* M : *ὑπ'* m   *ἔχοντες* suppl.   29 Desunt cetera signa in m   30 *μελάχροοι* cod.

ὀδόντας ἔχοντες, τετραγώνους, τὰ κάτω μείζονα τῶν ἄνω ἔχοντες· κἂν δὲ μέγα πρόσωπον ἔχωσιν, ἀλλά γε στρογγύλον· λευκόχροοι τῇ σαρκί, πυρρότριχες· ταῖς δὲ πράξεσιν ἔνδοξοι, πλούσιοι, πολύγονοι, γενναῖοι, μεταβολικοί, παντοπῶλοι, κάπηλοι, κηπωροί, περὶ χλόην τὴν τροφὴν ἔχοντες.

Λέοντος οἱ ἔχοντες ζῴδιόν εἰσι γλαυκοί, πυρρότριχες, λογίζοντες, εὔμορφοι, καλοί, θρασεῖς δὲ καὶ τραχεῖς καὶ μωροί, σιγηροὶ τῇ γνώμῃ ...... τὰ ἄνω μείζονα τῶν κάτω ἔχοντες, μικρὰ ὦτα ἔχοντες, τῷ χρώματι πυρρακίζοντες, μεγαλόστομοι, ἀραιόδοντες, τῷ σώματι λεῖοι, λεπτόκνημοι, λεπτόποδες, φύσει βιαῖοι, ὀργίλοι, τολμηροί, τοιαῦτα ὅμοια τῷ λέοντι· εὐρύστηθοι, εὐρυμέτωποι, μικρονόητοι· ταῖς δὲ πράξεσιν ἡγεμονικοί, ἐξουσιασταί ἔνδοξοι, πλούσιοι.

Παρθένου οἱ ἔχοντες ζῴδιόν εἰσιν εὔμετροι ἐν ἡλικίᾳ καὶ τὸ πᾶν σῶμα ἐκτένοντες ὄρθιον, στρογγυλόψεις, εὐόφθαλμοι, μυκτῆρας καθελκόμενοι, χείλεσιν αὐτάρκεις, παχυγένειοι, βαθεῖς, εὔχρηστοι, καθαροί, τοῖς σώμασι καλλωπισταί, εὐειδεῖς, εὔτριχες καὶ οἱ ὀφθαλμοὶ χαροποί· ταῖς δὲ πράξεσι σώφρονες, ἀξίαν ἔχοντες ἐν ζώνῃ, εὐπαίδευτοι, γραμματικοί, ἰατροί, πραγματευταί, ἀπὸ δόσεως καὶ λήψεως τὸν βίον ἔχοντες. εἰσὶ δὲ καὶ φιλογέωργοι καὶ φιλέρημοι καὶ ἐν ἀγροῖς ἀσκοῦντες, εὐμαθεῖς δὲ καὶ φιλομανθάνοντες καὶ διακρίνοντες καὶ ποιοῦντες πάντα ὅσα ἂν θυμηθῶσιν.

Ζυγοῦ οἱ ἔχοντες ζῳδιόν εἰσι τὸ πρόσωπον εὐειδεῖς, λευκόχροοι, εὐόφθαλμοι, εὔτριχες, παχύχειλοι, ὡραῖοι, ἱλαροί, ἐρωτικοί, λαλοῦντες ψεύδη πιστευθήσονται, ἐκμανθάνοντες ἰάμβους καὶ λόγους ξένους συντιθέντες καὶ συναρμόζοντες, ἐπιμελούμενοι εἰς τὰ ἀφροδίσια ἔργα καὶ ἐπιθυμίας γυναικῶν, πάντοτε ἐν ὁδῷ προκόπτοντες, κερδαλέοι, τεχνῶν ἐπιθυμηταί, ὑποκρινόμενοι πανοῦργα, ποικίλοι ὅλῃ τῇ ζωῇ, παρόμοιοι τῷ ζυγῷ, δοξαστικοί, μεταβολικοί, ἀγαθοί, εὐμενεῖς, καὶ ὅσα τούτοις παραπλήσια.

Σκορπίου οἱ ἔχοντες ζῴδιόν εἰσι βραχυκέφαλοι, στρογ-

---

1 *τὰ* scripsi : *τοὺς* cod., cf. v. 8.   *μείζονας* cod.   4 Leg. *παντοπῶλαι*?   6-7 *λογίζοντες* vix sanum Leg. *φλογίζοντες*?   8 Lacuna c. sex litterarum.   11 *εὐρύσθητοι* cod.   12 An *μικρονοηταί*?   17-18 et 25 *εὐτριχεῖς* cod., corr. cf. p. 138, 31.   17 *καλωπισταί* cod.   18 Leg. *τοὺς ὀφθαλμοὺς χαροποιοί* cod.   19 Leg. *ἐν ζωῇ*? cf. v. 30.   26 *πιστευθέσονται*   28 *ἐπιθυμίαις* cod.   29 *κερδαλαῖοι* cod   33 *ὀξύρινες* cod. *ὑπομελαχρίζοντες* cod. Leg. *ὑπομελαγχρώζοντες*?

γυλόψεις, ὀξύρρινες, ὑπομελαγχρίζοντες, τὸ κάτω χεῖλος ἐγκεκλασμένον ἔχοντες, λεπτόφωνοι, κακότροποι, χονδρότριχοι, πρασινόφθαλμοι· στήθη πλατεῖα, κνήμας μακράς, πόδας ἀσχήμους, τὸ σῶμα κακοσύνθετον <ἔχοντες>· ἐν δὲ πράξεσίν εἰσι μεγαλόψυχοι, ἐρωτικοί, ἀνδρεῖοι, φιλόνεικοι, ἅρπαγες, κλέπται, λησταί, στρατιῶται καὶ στρατηλάται. οὗτοι οὖν αὔξονται ἀπὸ βίας καὶ λαφύρων, πρὸς πορείαν ἐπάγοντες, παρόμοιοι τῷ σκορπίῳ.

Τ ο ξ ό τ ο υ οἱ ἔχοντες ζῴδιον τὸ μὲν σῶμά εἰσι τετράγωνοι, εὔμηροι, διηρημένοι, θρασεῖς, τραχεῖς, ἐφ' ὅλῳ τῷ σώματι ἐρυθροί, εὔσωμοι, στρογγυλόψεις, μικρόφθαλμοι, μακροπώγωνες, ἀναφαλάνδες, ἀλαζόνες, εὔμαλοι, παρόμοιοι τῷ τοξότῃ· τῇ δὲ πράξει μεγάλοι, δοξαστικοί, μεγαλοφυεῖς, στρατιῶται, κτηνοτρόφοι.

Α ἰ γ ο κ έ ρ ω οἱ ἔχοντες ζῴδιόν εἰσι δασεῖς καὶ λεπτοί, ὀστώδεις, κατωφερεῖς τῷ προσώπῳ, ὀξυγένειοι, εὐόφθαλμοι, λεπτὰ σκέλη ἔχοντες, μελανόφθαλμοι, μελανότριχες, εὐειδεῖς, παχύχειλοι, ἱλαροί, ἐν κόπῳ τροφὴν εὑρίσκοντες, ταῖς δὲ πράξεσι δοξαστικοί, πλούσιοι, φιλήδονοι, πραγματευταί, γεωργοί, ἐν παρύγροις τόποις διάγοντες, οὐρανομύσται καὶ ἀποκρύφων κηδεμόνες.

Ὑ δ ρ ο χ ό ο υ οἱ ἔχοντες ζῴδιόν εἰσιν εἴδει καὶ ἕξει καλοί, εὐόφθαλμοι, αἰσχυντικοί, νόσοις περιπίπτοντες, ἐρωτικοί, πάνυ ὡραῖοι, εὔσωμοι, λευκόχροοι, λεπτακινοί, λειότριχες, σκοτωματικοί. ὅσα ἂν ἐπικτήσωνται, ταῦτα ἀποβαλοῦνται, ἀλλὰ τὴν καθ' ἡμέραν ζωὴν εὐκόπως εὑρήσωσι· μέθυσοι· εὐσεβεῖς δὲ αἱ πράξεις αὐτῶν, πλούσιοι, φειδωλοί, μικρολόγοι, ἐν παρύγροις τόποις τὸν βίον ἔχοντες.

Ἰ χ θ ύ ω ν οἱ ἔχοντες ζῴδιόν εἰσιν ἐρυθροκέφαλοι, πυρρότριχες βραχεῖς, λεπτακινοί, ἐν ἡλικίᾳ μέσοι, τοῖς δὲ ὤμοις εὔστερνοι, ἔχουσι δὲ μακρὰς κνήμας, λεπτοσφόνδυλοι καὶ τὰ ἄρθρα αὐστηροί, τῷ σώματι σύμμετροι. λαμπρόφωνοι, εὐήκοοι, εὔτριχες, λευκοί, ἐνίοτε καὶ ὑπόχλωροι, ἰχθυόφθαλμοι, ἁπαλόχειρες· ταῖς δὲ πράξεσι δοξαστικοί, φιλόσοφοι, πολλάκις γυναιξὶ προσομιλοῦντες, μεγαλοφυεῖς, πιστικοί, ναύαρχοι, ἐμπορικοί, κυνηγοί, θηρευταί, ἁλιεῖς, ἰξευταί, ὀρνεοτρόφοι, πραγματευταί.

---

4 *ἔχοντες* suppl. 7 Leg. *πορνείαν*? 11 *εὔμαλοι* non capio. Leg. *εὔμαχοι*? *τῇ* corr. *τῷ* cod. 14 *αἰγοκέρου* cod. 19 *πανύγροις* cod., corr., cf. v. 26 28 *ἰχθύος* cod. 29 *μέσῃ* cod., corr. Delatte, cf. p. 116, 20 *εὔστερροι* cod. 30 *λεπτοσπόνδηλοι* cod. *αὐστηρά* cod. 32 **ἔνιοι ὅτε cod.**

F. 82ᵛ. *Π ο ῖ ά ε ἰ σ ι τ ὰ ἁ π λ ᾶ κ α ὶ δ ι π λ ᾶ ζ ῴ δ ι α*

Ἁπλᾶ ζῴδιά εἰσι ταῦτα· Ὑδροχόος, Λέων, Σκορπίος.
Διπλᾶ ζῴδιά εἰσι ταῦτα· Δίδυμοι, Παρθένος, Ζυγός, Ἰχθύες.·
Τετράποδα ζῴδιά εἰσι ταῦτα· Ταῦρος, Λέων, Κριός, Τοξότης.
Θηριώδη ζῴδιά εἰσι ταῦτα· Ταῦρος, Λέων, Σκορπίος.
Ἀνθρωπόμορφα ζῴδιά εἰσι ταῦτα· Δίδυμοι, Παρθένος, τὰ πρῶτα Ὑδροχόου.

Divinatio Pythagorica ex litteris nominum.

De hoc genere divinationis iam doctissime disseruit Paulus Tannery (*Notice sur des fragments d'onomatomancie arithmétique* in *Notices et extraits des mss.* XXXI, 2, 1885, p. 248 = *Mémoires scientifiques* t. IX, pp. 17-50) copiosis fragmentis ex Parisinis codicibus allatis. Fere simul eandem materiam tractavit Desrousseaux, (*Mélanges de l'Ecole de Rome*, VI, 1886, p. 534-544) codicibus Italicis fretus. Attamen, quum omnibus aliis codicibus plenior sit liber hic Matritensis, totam hanc futura praenoscendi doctrinam, quae propter numerorum calculos Pythagorae tribuitur,hic repetere visum est.

F. 82ᵛ. *Π υ θ α γ ό ρ α ς Τ η λ α ύ γ ῃ χ α ί ρ ε ι ν* (1).

Πολλὰ παθὼν καὶ πολλὰ πειράσας ἐπέσταλκά σοι τόδε βιβλίον ἔχον ἐν ἑαυτῷ πλινθίδα πάνυ χαριεστάτην· ἐντυχὼν γὰρ εἰς αὐτὴν

---

(1) Alia forma eiusdem epistulae invenitur in codice 35 (Matrit. 4631), f. 150: *Π υ θ α γ ό ρ ο υ ἀ ρ χ ι κ έ σ τ ο ρ ο ς π ρ ο γ ν ω σ τ ι κ ὸ ν π ρ ὸ ς Α ὐ γ ί α ν τ ι μ ι ω τ ά τ η ν.*

Πολλὰ παθὼν καὶ πολλὰ πειράσας, τιμιωτάτη μοι Αὐγία, ἔπεμψά σοι τὸ βιβλίον περιέχον πλινθίδα πάνυ χαριεστάτην. ἐντεύξῃ γὰρ διὰ τῶν ὑποκειμένων γραμμάτων τί ἔσται τὰ ἐνεστῶτα καὶ μέλλοντα καὶ προγεγενημένα καὶ εἰ ὁ νοσῶν ὑγιὴς ἔσται. λαβὲ δὲ δύο ὀνόματα κύρια ἀντιδίκων ἢ δικαζομένων ἢ πολεμούντων καὶ ψήφισον ταῦτα οὕτως ἐπιλαμβάνων τὸν ἀριθμόν· τὸ μὲν α' ἕν, τὰ δὲ β' δύο καὶ τὰ ἑξῆς μέχρι τῆς δεκάδος, ἢ προστίθει ἓν ἤτοι ια', καὶ πάσῃ δεκάδι ἕν, καὶ πάσῃ ἑκατοστῇ δέκα καὶ ἕν. καὶ μετὰ τὸ ψηφίσαι ὕφειλον διὰ τῶν ἐννέα, ὡς ἐνδέχεται εὑρεθῆναι. καὶ ἐὰν ἀπολειφθῇ ὁ ἀριθμὸς τῶν θ', ἢ μείνῃ ἐν τοῖς ἐννέα (πλείω γὰρ οὐ δύναται γενέσθαι), κράτει τὸν ἀριθμόν, καὶ μετὰ τὸ ψηφίσαι τὸν ἀριθμὸν ἑκάστου ὀνόματος σκόπει εἰς τὴν πλινθίδα τὴν ἔχουσαν ἀριθμούς, καὶ γνώσῃ τὸ μέλλον. Παράδειγμα· Ἕκτωρ ἔχει ψῆφον ,ασκε'. ὕφειλον αὐτὰ ὑπὸ τῶν θ', καὶ ἀπομένει μία.

---

1 cf. *Cat. astr.*, I, p. 164 ss. 15 *γραμμάτων* corr. : *πραγμάτων* cod. 23 *πληνθίδα* cod.

διὰ τῶν ὑποκειμένων γραμμάτων εἴσεται τά τε ἐνεστῶτα καὶ τὰ προγεγονότα καὶ <τὰ> αὖθις ἐσόμενα. ὑπέταξα οὖν πλινθίδα ἐννεάδος δοκιμαζομένην τρόπῳ τοιῷδε · λάβε δύο ὀνόματα ἐκ γενετῆς, μὴ ὄντα ἐπίθετα, ἤτοι ἀντιδίκων ἢ μονομάχων ἢ οἱωνδήποτε καθόλου δικαζομένων πρὸς ἀλλήλους εἴτε ὑπὲρ πόλεως ἢ ὑπὲρ πραγμάτων ἢ στεφάνου ἢ ἑτέρου πράγματος. ψήφισον δὲ κατὰ τὸν ἀριθμὸν τῶν στοιχείων οὕτως ·

Τὸ μὲν α' ἀπὸ ιϱ'	,αα''	Τὸ δὲ β' ἀπὸ κσ'	,ββ''
Τὸ γ' ἀπὸ λτ'	,γγ''	Τὸ δ' ἀπὸ μυ'	,δδ''
Τὸ ε' ἀπὸ νφ'	,εε''	Τὸ ς' ἀπὸ ξχ'	,ςς''
Τὸ ζ' ἀπὸ οψ'	,ζζ''	Τὸ η' ἀπὸ πω'	,ηη''

Καὶ οὕτως πάντων τῶν στοιχείων τὴν γνῶσιν λάμβανε. καὶ μετὰ τὸ ψηφίσαι τὸν τῶν ἑκατέρων συναγόμενον ἀριθμὸν ὕφειλον ἐννεάδας, ὅσας ἐνδέχεται ὑφαιρεθῆναι παρ' ἰδίᾳ ἑκάστου, ἕως ἂν καταλειφθῇ ἀριθμὸς ἑκάτερος, ἤτοι ἔλαττον τῆς ἐννεάδος ἢ ἴσον (μεῖζον γὰρ οὐκ ἐνδέχεται), καὶ τὰ λοιπὰ σημειωσάμενος ἑκατέρους τοὺς ἀριθμοὺς σκόπει ἐν τῇ ὑποκειμένῃ πλινθίδι, καὶ γνώσῃ τὸν μέλλοντα νικᾶν ἢ ἡττᾶσθαι.

Ὑποδείξεως χάριν · Ἕκτωρ, ε'β'γ'η'α' γίνονται ιθ'. καὶ πάλιν τὸ ἕτερον · Πάτροκλε, η'α'γ' <α'> ζ'β'γ'ε' · γίνονται λ'. Ἆρον τῶν μὲν ιθ' δύο ἐννεάδας, καὶ μένει α', τῶν δὲ λ' τρεῖς ἐννεάδας, καὶ μένουσι γ'. ἐλθὲ οὖν ἐπὶ τὴν πλινθίδα, καὶ εὑρήσεις

---

1 εἴσεται] εἰσὶ τὰ cod. 2 τὰ suppl. πληνθίδα cod. 4 γενητῆς cod. 5 πόλεως] rectius πολέμου 6 ψήφησον cod. 14 καταληφθῇ cod. An ἐλάττων, ἴσος, μείζων? Delatte 17 πληνθίδι cod. 20 ηαγζβγε cod. 22 πληνθίδα cod. Ad tabulam ςς' in marg. corr. Lascaris νεώτερος in πρεσβύτερος. Sub tabulis Lascaris addidit : [Π]ληνθίδες εἰσὶν θ' καὶ ἑκάστη περιέχει θ' στίχους διαφερ.

Πάτροκλος ἔχει ψῆφον, ,ωοα'. ὕφειλον αὐτὰ ὑπὸ τὰ θ', καὶ ἀπομένουσιν ζ'. ἐλθὲ ἐπὶ τὸν κανόνα, καὶ εὑρήσεις τὴν μίαν νικῶσαν τὰς ζ'. ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων. ἐὰν δὲ τὰ ὀνόματα ἰσόψηφα γένωνται, γνώσῃ οὕτω τὸν ἀγωνιζόμενον νικῶντα. ἐὰν ἐγκαταλειφθῇ μία καὶ μία, ὁ ἐγκαλῶν νικᾷ, εἰ δὲ δύο καὶ δύο, ὁ ἐγκαλούμενος νικᾷ · εἰ δὲ τρεῖς καὶ τρεῖς, ὁ ἐγκαλούμενος νικᾷ. εἰ δὲ τέσσαρα καὶ τέσσαρα, ὁ ἐγκαλούμενος νικᾷ. εἰ δὲ ε' καὶ ε', ὁ ἐγκαλῶν νικᾷ. εἰ δὲ ς' καὶ ς', ὁ ἐγκαλούμενος νικᾷ. κ.τ.λ.

τὴν μίαν νικῶσαν τὰς γ'. ἐὰν δὲ οἱ δικαζόμενοι ἰσόψηφοι γίνωνται καὶ καταλειφθῇ α'α', ὁ ἐγκαλῶν νικᾷ, ἐπὶ δὲ τῶν ἀρτίων ὁ ἐγκαλούμενος.

αα' ὁ ἐγκαλῶν νικᾷ καὶ ὁ νεώτερος.

αβ'	αἱ β'	νικῶσιν.
αγ'	ἡ α'	νικᾷ.
αδ'	αἱ δ'	νικῶσιν.
αε'	ἡ α'	νικᾷ.
ας'	αἱ ς'	νικῶσιν.
αζ'	ἡ α'	νικᾷ
αη'	αἱ η'	νικῶσιν
αθ'	ἡ α'	νικᾷ.

ββ' ὁ ἐγκαλῶν νικᾷ καὶ ὁ πράττων.

βγ'	αἱ γ'	νικῶσιν.
βδ'	αἱ β'	νικῶσιν.
βε'	αἱ ε'	νικῶσιν.
βς'	αἱ β'	νικῶσιν.
βζ'	αἱ ζ'	νικῶσιν.
βη'	αἱ β'	νικῶσιν.
βθ'	αἱ θ'	νικῶσιν.

γγ' ὁ ἐγκαλῶν νικᾷ καὶ ὁ νεώτερος.

γδ'	αἱ δ'	νικῶσιν.
γε'	αἱ γ'	νικῶσιν.
γς'	αἱ ς'	νικῶσιν.
γζ'	αἱ γ'	νικῶσιν.
γη'	αἱ η'	νικῶσιν.
γθ'	αἱ γ'	νικῶσιν.

δδ' ὁ ἐγκαλούμενος νικᾷ καὶ ὁ πράττων.

δε'	αἱ ε'	νικῶσιν.
δς'	αἱ ς'	νικῶσιν.
δζ'	αἱ ζ'	νικῶσιν.
δη'	αἱ δ'	νικῶσιν.
δθ'	αἱ θ'	νικῶσιν.

εε' ὁ ἐγκαλῶν νικᾷ καὶ ὁ νεώτερος.

ες'	αἱ ς'	νικῶσιν.

εζ′ αἱ ε′ νικῶσιν.
εη′ αἱ η′ νικῶσιν.
εθ′ αἱ ε′ νικῶσιν.

ςς′ ὁ ἐγκαλούμενος νικᾷ καὶ ὁ νεώτερος.
ςζ′ αἱ ζ′ νικῶσιν.
ςη′ αἱ ς′ νικῶσιν.
ςθ′ αἱ θ′ νικῶσιν.

ζζ′ ὁ ἐγκαλῶν νικᾷ καὶ ὁ νεώτερος.
ζη′ αἱ η′ νικῶσιν.
ζθ′ αἱ ζ′ νικῶσιν.

ηη′ ὁ ἐγκαλούμενος νικᾷ καὶ ὁ πράττων.
ηθ′ αἱ θ′ νικῶσιν.

θθ′ ὁ ἐγκαλῶν νικᾷ καὶ ὁ νεώτερος.

[In margine superiore manu Constantini Lascaris :
Ψήφισον τὰ ὀνόματα τῶν ἀνδρογύνων, καὶ εἰ μὲν ὦσι ζυγά, ἡ γυνὴ τελευτᾷ, εἰ δὲ μονά, ὁ ἀνήρ.]

Περὶ ἀνδρογύνων, ἵνα γνῶς τὸν προτελευτῶντα αὐτῶν. *Ψήφισον τὸ ὄνομα τοῦ ἀνδρὸς καὶ ἴδε τὴν ποσότητα τοῦ ἀριθμοῦ, καὶ ὅσον ἀναβῇ, ὕφειλον αὐτὰ διὰ τῶν θ′, καὶ τὰ μένοντα ἐπάνω τῆς ἐννεάδος κράτει. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ὀνόματος τῆς γυναικός· καὶ σμῖξον τὰ περισσότερα τῆς ἐννεάδος ἀμφότερων τῶν ὀνομάτων καὶ εἰ μέν εἰσι διπλᾶ, ἄνδρα προτελευτᾶν ἴσθι, εἰ δὲ ἁπλᾶ, τὴν γυναῖκα.*

Περὶ τοῦ μέλλοντος νικᾶν ἢ ἡττᾶσθαι. *Ἀρίθμησον τὰ ὀνόματα τῶν δύο μαχομένων· καὶ ἐὰν εὑρήσῃς τὸ ὄνομά σου νικῶν, νικήσεις τὴν μάχην· εἰ δὲ τοῦ μαχομένου σε, ἡττᾶσαι.*

Περὶ παραμονῆς. *Ψήφισον τὸ ὄνομά σου καὶ τὸ ὄνομα τοῦ ἄρχοντος, οὗ μέλλεις παραμεῖναι, καὶ ἐὰν εὑρήσῃς τὸ ὄνομά*

11 et p. 141 (bis) pro *πράττων* lege *πρεσβύτερος*. 16 De « androgynis » i.e. coniugibus cf. infra p. 145, 1. 17 *Ψήφησιν* cod. 18 *ἤφειλον* cod. 19 et 20 *ἐννάδος* cod. 20 *σμῖξον*] a verbo *σμίγω* = *μίγνυμι* 27 *Ψήφησον* cod., item p. 143, 7, 11.

σου νικῶν, συμφέρει σοι παραμένειν, εἰ δὲ ἄρχοντος, οὐ συμφέρει σοι· μὴ παραμείνῃς.

Περὶ πράξεώς τινος. *Ὡσαύτως τὸ ὄνομά σου καὶ τὸ ὄνομα τοῦ ἄρχοντος ψήφισον, καὶ ἐὰν νικήσῃ τὸ ὄνομά σου, συμφέρει, εἰ δὲ τοῦ ἄρχοντος, μόνον ζημιοῦσαι.*

Περὶ ὁδευόντων, ὁδοιπορούντων καὶ συμπορευομένων. *Ψήφισον τὸ ὄνομά σου καὶ τοῦ συνοδεύοντός σοι, καὶ ἐὰν νικήσῃ τὸ ὄνομά σου, συμφέρει· εἰ δὲ μή, μὴ ὁδεύῃς μετ᾽ αὐτοῦ.*

Περὶ κοινωνίας. *Τὸ ὄνομά σου καὶ τοῦ κοινωνοῦντός σοι ψήφισον, καὶ ἐὰν νικήσῃ τὸ ὄνομά σου, συμφέρει· εἰ δὲ τοῦ κοινωνοῦντός σοι, οὐ συμφέρει.*

Περὶ ἀποδημίας ἐκ πόλεως εἰς ἑτέραν πόλιν. *Ἀρίθμησον τὸ ὄνομά σου καὶ τῆς πόλεως, καὶ ἐὰν τὸ ὄνομά σου νικήσῃ, συμφέρει· εἰ δὲ τῆς πόλεως, οὐ συμφέρει.*

[In ima pagina manu Constantini Lascaris :
Περὶ γαμούντων. *Ἀρίθμησον τὸ ὄνομα τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, καὶ εἰ εἶεν ἀμφότερα ιβ′ ἢ ιδ′, γίνεται τὸ συνάλλαγμα καὶ τέξεται πρωτοτόκον κόρην καὶ ἡ γυνὴ προτελευτᾷ· ἐὰν δὲ ἄνισα ἔλθωσι, βιαίως γίνεται τὸ συνάλλαγμα, καὶ τέξεται πρωτοτόκον υἱὸν καὶ ὁ ἀνὴρ προτελευτᾷ. οἷον Νικηφόρος, Μαρία· ἄρτια ιδ′. ἡ γυνὴ προτελευτᾷ. πάλιν Θεόδωρος καὶ Εἰρήνη· ιγ′, ὁ ἀνὴρ προτελευτᾷ.*]

Περὶ ἀπωλείας. *Ψήφισον τὸ ὄνομα τοῦ ἀπολέσαντος καὶ τοῦ ἀπολουμένου, καὶ ἐὰν νικᾷ ὁ ἀπολέσας, τὸ ἀπολεσθὲν εὑρεθήσεται· εἰ δὲ τοῦ ἀπολεσθέντος ὄνομα νικήσῃ, οὐχ εὑρεθήσεται.*

Περὶ φυγάδος. *Τὸ ὄνομα τοῦ φυγόντος ψήφισον καὶ τοῦ κυρίου αὐτοῦ, καὶ ἐὰν τὸ ὄνομα τοῦ κυρίου νικήσῃ, εὑρεθήσεται ὁ φυγών· εἰ δὲ τὸ τοῦ φυγάδος νικᾷ, οὐχ εὑρεθήσεται.*

Περὶ ἐλευθερώσεως. *Τὸ ὄνομα τοῦ δούλου καὶ τοῦ δεσπότου ψήφισον, καὶ ἐὰν τοῦ δούλου νικᾷ, ἐλευθεροῦται, εἰ δὲ τοῦ δεσπότου, οὐκ ἐλευθεροῦται.*

Περὶ πράσεως δούλου. *Ψήφισον τὸ ὄνομα τοῦ*

13-15 Cf. Tannery, *Mémoires*, IX, p. 46, c. 7. 23 *Ψήφησον* cod. ac sic deinceps.

δούλου καὶ τοῦ δεσπότου, καὶ ἐὰν τοῦ δούλου νικήσῃ, οὐ πραθήσεται.

Περὶ γάμου, εἰ συμφέρει. Τὸ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ὄνομα ψηφίσας σκόπει · εἰ τὸ τοῦ ἀνδρὸς ὄνομα νικᾷ, συμφέρει, εἰ δὲ τῆς γυναικός, οὐ συμφέρει.

Περὶ τοῦ γνῶναι τὸν κλέπτην ἐκ πολλῶν ὑπονοουμένων. Πάντων τῶν ὑπονοουμένων τὰ ὀνόματα ψήφισον, καὶ τῶν ἡττωμένων ἀνάπεμπε τοὺς νικῶντας καὶ πάλιν ζεῦξον, ἕως** ὁ εἷς πάντα νικήσας, ἐκεῖνος ἐστὶν ὁ κλέπτης.

Περὶ νοσοῦντος εἰ ζήσεται. Ψήφισον τὸ ὄνομα τοῦ ἀνθρώπου τοῦ νοσοῦντος, καὶ τὸ ὄνομα τοῦ θεοῦ (1) τοῦ κυριεύοντος τὴν ἡμέραν ἐν ᾗ ὑπέθετο ἢ ἐν ᾗ κατεκλίθη, καὶ ἐὰν νικᾷ τὸ ὄνομα τοῦ νοσοῦντος [καὶ] τὸ ἄστρον τῆς ἡμέρας, ζήσεται · εἰ δὲ καὶ τὸ τοῦ θεοῦ ὄνομα νικήσει, τεθνήξεται. εἰ δὲ καὶ ἰσόψηφα καταντήσωσι τὰ δύο ὀνόματα, ταχέως ὑγιανεῖ, ἐὰν δὲ ἄζυγα, βραδέως.

Περὶ τελευτῆς ἀδελφῶν. Ἀμφοτέρων τὰ ὀνόματα ψήφισον, ἑνὸς ἑκάστου παρ' ἰδίαν, καὶ σύμβαλλε αὐτὰ ἐπὶ τὴν πλινθίδα καὶ εὑρήσεις προτελευτῶντα τὸν νικῶντα.

Περὶ ξενιτεύοντος εἰ ἐρωτηθῇς. Ἴδε τὸ ζῴδιον τὸ ἐπιπολεῦον τῷ μηνὶ τῆς ἐρωτήσεως καὶ τὸν πλανήτην τὸν ἐπιπολεύοντα τὴν ἡμέραν, καὶ ἐάν ἐστιν ὁ θεὸς αὐτῶν ἐν τῷ οἴκῳ αὐτοῦ, ὁ ἀπόδημος ταχέως ἔρχεται, εἰ δε ἔξωθεν ἐπὶ δυσμάς, ὁ ξένος ἢ ἀσθενεῖ ἢ ἐτελεύτησεν.

3-5 *Περὶ γάμου*, cf. Tannery, op. cit., p. 45, c. 3. 4 ψηφήσας cod. 6-10 Cf. Tannery, op. cit., c., 5. 10 εἷς corr. : εἰς cod. Legendum ἕως <ὅτου ὁ εἷς πάντας νικήσῃ καὶ> ὁ εἷς πάντας νικήσας [Delatte] 9 Ψήφησον cod. hic et infra 11-17 Cf Tannery, op. cit. p. 47, c. 6. 14 καὶ delevi 19-21. Cf. Tannery, op. cit., p. 47, c. 8. 20 Leg. κατ' ἰδίαν ? 19 πληνθίδα cod. 22 Leg. τὸν μῆνα ?

---

(1) Notatione digna sunt verba hic et v. 15 τοῦ θεοῦ, infra v. 24 ὁ θεός, quae in codicibus a Paulo Tannery adhibitis suppressa sunt. Quibus probatur Byzantinos hariolos ex aevo quo dii colebantur horum praeceptorum hereditatem cepisse.

F. 84. *Περὶ ἀνδρογύνων τὸν αὐτὸν ἐπὶ τὰς πλινθίδας ψῆφον παρατήρει.*

θα'. Σύμφωνοι ἔσονται καὶ ἑαυτοῖς ἀρέσκοντες, μιᾷ βουλῇ καὶ προαιρέσει ὑπάρχοντες καὶ ἀλλήλοις ποθοῦντες καὶ κατὰ πάντα τρόπον καλῶς βιοῦντες μέχρι τέλους τῆς ζωῆς αὐτῶν***

εα'. Σύμφωνοι ἔσονται, ὡς μίαν ἔχοντες γνώμην, λυποῦνται δὲ διὰ παιδίσκην, καὶ ἀφίστανται ἀγανακτοῦντες ἀλλήλοις διὰ βουλὴν ἀλλοτρίαν. εἰς ζάλην καὶ φιλονεικίαν διάγουσιν.

δα'. Σύμφωνοι ἔσονται κατὰ πάντα τρόπον καὶ ἀλλήλους ποθήσουσι · ὁ γὰρ τὰς δας ἔχων πολυχαρὴς ἔσται καὶ ἐξουσιαστικός, κελεύει καὶ ὑπακούεται · καὶ καλῶς βιοῦντες.

γα'. Ἀσύμφωνοι ἔσονται μέχρι τέλους τῆς ζωῆς αὐτῶν μετὰ καθημερινῆς βασάνου καὶ ἀτυχίας βιοῦντες.

βα'. Σύμφωνοι ἔσονται κατὰ πάντα τρόπον ἀλλήλους φιλοῦντες, μίαν βουλὴν ἔχοντες καὶ μίαν προαίρεσιν · ὁ γὰρ τὰ β' ἔχων πλεῖόν ἐστιν ἐξουσιαστικός · κελεύει γὰρ καὶ ὑπακούεται.

αα'. Σύμφωνοι ἔσονται εἰς τὸν πρῶτον χρόνον, ἔπειτα δὲ πάλιν βιοῦσι μετὰ μάχης καθημερινῆς ὅ τε ἀνὴρ καὶ ἡ γυνὴ διὰ τὸ ἰσόψηφον τοῦ ἀριθμοῦ, καὶ ἀποστρεμμένην ἔχοντες τὴν γνώμην βιοῦσιν.

ηβ'. Σύμφωνοι ἔσονται καὶ μιᾶς προαιρέσεως καὶ μίαν γνώμην ἔχοντες βιοῦσιν.

ζβ'. Σύμφωνοι ἔσονται μὲν πρὸς ἀλλήλους, ἀποζευχθήσονται δὲ κατὰ ἀνάγκην, οὐχὶ ἰδίᾳ προαιρέσει ἐκβαλλόμενοι παρὰ τῶν ἰδίων.

ϛβ'. Ἀσύμφωνοι ἔσονται εἰς τῷ ἑνὶ ἐγκαλοῦντες, διὰ διαβολὴν ἢ παιδίσκην ἢ τὴν θρέψασαν ζηλοτυπίαν εἰς ἑαυτοὺς ἔχοντες, διότι ῥέμβοι γίνονται οὗτοι.

εβ'. Σύμφωνοι ἔσονται, καὶ ἀλλήλους ἀγαπήσουσι, συνεχῶς δὲ ὑβρίζοντες ἑαυτοὺς διὰ γονεῖς ἢ ἀδελφοὺς καὶ πάλιν ἀγαπῶντες ἀλλήλους καὶ μυστήρια φυλάττοντες, οὕτως διάγουσιν.

---

1 τὴν αὐτὴν scribere nolui. ἀνδρόγυνοι = coniuges, cf. supra p. 142, 16. 3 ss. In margine adnotationes addidit Constantinus Lascaris, v. 4 τὸ α' νικᾷ ; v. 6 α' καὶ ε'. τὸ α' νικᾷ ; v. 9 α' καὶ δ'. τὸ δ' νικᾷ ac similia deinceps. 6 ηα' ζα' ϛα' desunt. 15 Super versum scriptum est : ἔστιν δὲ πείθειν ἔχει (?) καὶ (?) 23 cf. p. 146, 20.

δβ'. Σύμφωνοί εἰσιν, ἀλλήλους ἀγαπῶντες καὶ πάλιν μισοῦντες· ἐνίοτε δὲ καὶ χωρίζονται, καὶ πάλιν φιλούμενοι διάγουσι πάντοτε.

γβ'. Σύμφωνοι ἔσονται κατὰ πάντα τρόπον, καὶ ἀλλήλοις ἐξουσιάζουσιν· ἕξουσι δὲ ἐρεσχελίαν ἀπὸ ζεύξεως, καὶ πάλιν εἰρηνεύσουσι βιοῦντες ἐν πολλῇ συμφωνίᾳ καὶ εἰρήνῃ καὶ ἀγάπῃ.

ββ'. Ἀσύμφωνοι ἔσονται εἰς πάντα, εἷς ἕκαστος ἰδίαν προαίρεσιν ἕξουσι καὶ ἔριν πλεονάζουσαν· ἀλλήλοις μὴ πιστεύοντες βιοῦσι μετ' ἀλλήλων πίστιν μὴ ἔχοντες.

θγ'. Σύμφωνοί εἰσι κατὰ πάντα ἑαυτοῖς ἐπισυνερχόμενοι, ἀγανακτήσουσι δὲ ἀλλήλοις, διότι οἱ πατέρες αὐτῶν ὑβρίζουσιν.

ηγ'. Σύμφωνοι ἔσονται καὶ φιλοῦντες ἀλλήλους· εἰς πάντα πρὸς ὠφέλειαν ἔσονται, καὶ μίαν γνώμην ἔχοντες, ἀλλὰ καὶ φιλονεικίαν.

ζγ'. Σύμφωνοι ἔσονται καὶ ἀλλήλους φιλοῦντες καὶ συνερχόμενοι καὶ φίλους κτώμενοι καὶ βίον διάγοντες ἐν ἁπλότητι διὰ τὸ διπλάσιον τῶν ἡμερῶν, καὶ μένει μία ἁπλῆ.

ϛβ'. Σύμφωνοι ἔσονται καὶ μίαν γνώμην ἔχοντες καὶ προαίρεσιν, ἀγανακτοῦντες δὲ ἀλλήλοις διὰ τὸ γυναικεῖον γένος, καί ποτε μὲν φιλούμενοι, ποτὲ δὲ χωριζόμενοι.

εγ'. Ἀσύμφωνοι ἔσονται ὥσπερ αἱ τροπαὶ τῶν ἀνέμων, μετ' ἀλλήλων πίστιν μὴ ἔχοντες, ἀποζευχθήσονται δὲ κατὰ ἀνάγκην, οὐκ ἰδίᾳ προαιρέσει.

δγ'. Σύμφωνοι ἔσονται καὶ φιλοῦντες ἀλλήλους, ἐξωτικῇ δὲ βιώσει παραμένοντες ἕξουσι βιωτικὴν κίνησιν καὶ ἑτέραν σύζευξιν.

γγ'. Σύμφωνοι ἔσονται καὶ ἀλλήλους φιλοῦντες, πυκνῶς δὲ ἀλλήλοις παραδειγματίζοντες, εἰς ἀλλήλους ἀχάριστοι.

θδ'. Ἀσύμφωνοι ἔσονται δι' ἐξωτικὰ πρόσωπα, καὶ κακὴ ἔσται ἡ σημείωσις αὐτῶν· ἐξελεύσονται καὶ πάλιν διαλλαγήσονται, ἀλλήλους δὲ κακολογοῦντες, πότε φιλούμενοι, πότε ἀποχωριζόμενοι.

ηδ'. Οὐ μὴ συμφωνήσουσι, διότι τύχῃ ῥέμβοι εἰσὶ καὶ ἀκατάστατον γνώμην ἔχοντες καὶ μυστήρια ἑαυτῶν οὐ φυλάττοντες.

ζδ'. Σύμφωνοι ἔσονται κατὰ πάντα τρόπον φιλοῦντες ἀλλήλους καὶ μίαν γνώμην ἔχοντες καὶ μίαν προαίρεσιν εἰς παντοῖον πρᾶγμα.

ϛδ'. Οὐ μὴ συμφωνήσουσι διὰ τὸ γυναικεῖον γένος ἢ διὰ τὰς αὐτῶν ῥυπαρίας, ἑαυτοὺς δὲ φιλήσουσι διὰ τὸ κατάλληλον προαίρεσιν ἔχειν, καὶ τότε οὕτως δοξάζονται.

6 ἀσύμφωνοι corr. : σύμφωνοι cod. 19 ἀσύμφωνοι corr. Delatte : σύμφωνοι cod. 20 Cf. p. 145, 23. 35 αὐτῶν cod.

εδ'. Σύμφωνοι ἔσονται ἐν ἀγάπῃ καὶ προαιρέσει διάγοντες πάντοτε.

δδ'. Ἀσύμφωνοί εἰσι ἀλλήλοις διὰ δούλην ἢ παιδίσκην ζηλοτυποῦντες· διότι ἡ τύχη ῥέμβη, οὕτως τὸν βίον διάγουσιν.

θε'. Σύμφωνοι ἔσονται καὶ ἀλλήλους φιλοῦντες, κατὰ δέ τινα τρόπον ποτὲ μὲν ὑβρίζονται, ποτὲ δὲ ἀγανακτοῦντες βιοῦσιν.

ηε'. Σύμφωνοι ἔσονται καὶ ἀλλήλους ἀγαπῶντες, ἀκαταστατοῦντες δὲ διὰ γονεῖς ἢ συγγενεῖς, καὶ ἀποζευχθήσονται.

ζε'. Σύμφωνοι ἔσονται καὶ μίαν γνώμην καὶ προαίρεσιν ἔχοντες ἑαυτοῖς συνεισερχόμενοι.

ϛε'. Σύμφωνοι ἔσονται καὶ φιλοῦντες ἀλλήλους καὶ κατὰ πάντα πρὸς ὠφέλειαν ἔσονται ἑαυτοῖς ἀρέσκοντες, μίαν βουλὴν καὶ προαίρεσιν ἔχοντες βιοῦσιν.

εε'. Σύμφωνοι ἔσονται ἀλλήλους φιλοῦντες, καὶ οὐκ ἰδίᾳ προαιρέσει χωρισθήσονται, καὶ πάλιν μίαν γνώμην ἕξουσιν.

θϛ'. Οὐ μὴ συμφωνήσουσι διὰ πολλὰς προφάσεις, ἀλλήλους δὲ ἀγαπῶντες ἔσονται.

ηϛ'. Σύμφωνοι ἔσονται ἀλλήλους ποθοῦντες, ὕστερον δὲ ἀποζευχθήσονται διά τινα αἰτίαν.

ζϛ'. Ἀσύμφωνοι ἔσονται διὰ τοὺς γονεῖς αὐτῶν, ἀκατάστατον ἔχοντες τὴν γνώμην διὰ † μεριλογίαν τινά.

ϛϛ'. Ἀσύμφωνοι ἔσονται διὰ τὸ γυναικεῖον γένος ἐναντιούμενοι καὶ ἀκατάστατον γνώμην ἔχοντες.

θζ'. Σύμφωνοι ἔσονται καὶ ποθοῦντες ἀλλήλους, ἄλλως γὰρ ἄλλοτε μέχρι πολλοῦ διαζευχθήσονται, λαλοῦσα γυνὴ προφανῇ· <ἀνα>ζευχθήσονται δὲ καὶ ζωὴν κακὴν ἕξουσιν.

ηζ'. Σύμφωνοι ἔσονται μὲν ἀλλήλους ποθοῦντες, διὰ γονεῖς δὲ ἀκαταστατοῦντες.

ζζ'. Ἀσύμφωνοί εἰσιν οὗτοι, ἕκαστος αὐτῶν διὰ τὴν ἄπειρον φιλονεικίαν εἰς ζάλην διάγοντες.

θη'. Οὐ μὴ συμφωνήσουσιν εἰς γένος θέλοντες ἑαυτοὺς δεσποτεύειν, ὕστερον δὲ ἀποζευχθήσονται.

ηη'. Ἀσύμφωνοι ἔσονται διὰ δούλην ζηλοτυποῦντες.

θθ'. Ἀσύμφωνοι ἔσονται διὰ γυναικεῖον γένος, καὶ διὰ ἰδίαν παιδίσκην ἀποζευχθήσονται.

4 Leg. τῇ τύχῃ ῥέμβοι, cf. p. 146 v. 30 21 Leg. μερμεριλογίαν? 25 An λαλεῖ γάρ? Delatte. 26 ζευχθήσονται cod., corr. Delatte.

Fol. 86v. *Διάγνωσις πράξεως ἀρχόντων, εἴτε καλῶς, εἴτε κακῶς.*

Σκόπησον ἀκριβῶς τὴν ἡμέραν τῆς προβολῆς αὐτοῦ καὶ ἀρίθμησον τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν δακτύλων σου κατὰ τὸν ἀριθμὸν τῶν στοιχείων οὕτως· τὸ μὲν ἄλφα μίαν, τὸ δὲ βῆτα ἐννέα. ἀρίθμησον δὲ καὶ τὸ ὄνομα τοῦ ἀστέρος τοῦ περιπολεύοντος τὴν ἡμέραν καὶ τὸ ὄνομα τῆς πόλεως, εἰς ἣν μέλλει ἄρξειν, καὶ ἑνώσας ὕφειλον ἐπὶ τῶν ιβʹ, καὶ τὰ μένοντα κάτωθεν τῶν ιβʹ, ἐκεῖνός ἐστιν ὁ ἀριθμὸς τῶν ἡμερῶν τῆς πράξεως αὐτοῦ. ἐὰν μείνωσιν ἑπτὰ, γίνωσκε ὅτι πρᾶξαι ἔχει ἢ ζʹ ἡμέρας ἢ ζʹ ἑβδομάδας ἢ ζʹ μῆνας ἢ ζʹ ἔτη. ὁμοίως καὶ οἷός ἐστιν ὁ ἀριθμός. εἰ δὲ ιβʹ, βραδύς ἐστιν ὁ ἀριθμός. εἰ δὲ θέλεις ἰδεῖν εἰ εὐτυχὴς ἐστιν ἢ ἀτυχής, ἀρίθμησον πάλιν καθῶς πρῶτον τὸ ὄνομα τοῦ ἄρχοντος καὶ τοῦ ἀστέρος καὶ τῆς πόλεως, καὶ ὕφειλον ἐπὶ τῶν θʹ. καὶ ἐὰν μείνωσι ζυγά, ἀτυχεῖ, εἰ δὲ ἄζυγα, εὐτυχεῖ.

Ἐὰν ἐρωτηθῇς περὶ ζωῆς τινὸς ἢ θανάτου. *Κράτησον ἐπὶ τῶν δακτύλων σου ταʹ, καὶ μέτρησον τὴν σκιάν σου τοῖς ποσί, καὶ ἑνώσας τοὺς πόδας μετὰ τῆς ταʹ ὕφειλον ἐπὶ τῶν ηʹ. καὶ ἐὰν μείνωσι δʹ, γίνωσκε ὅτι ἀπέθανεν, ἐὰν δὲ δύο, ψυχομαχεῖ, καὶ ἁπλῶς εἰπεῖν, ὅσα εἰσὶ ζυγά, κακά, ὅσα δὲ ἄζυγα, καλά εἰσι.*

F. 87. *Περὶ τοῦ γνῶναι τὸν νικῶντα ἐν μάχῃ.* *Ψήφισον τὰ ὀνόματα πρῶτον τοῦ ἑνὸς οὕτως· λέγεται δὲ τὸ βαπτιστικὸν αὐτοῦ Λέων· ωπεʹ. πρόσθες καὶ ιʹ, πρόσθες καὶ τῆς Σελήνης ζʹ, πρόσθες καὶ τῆς ἡμέρας οἷά ἐστιν ἢ πέμπτη ἢ ἕκτη, καὶ ὕφειλον ἐπὶ τῶν λʹ, καὶ εἴ τι ἀπομένει, θεώρει· ἐὰν εἰς τὴν νίκην, νικᾷ, εἰ δὲ εἰς τὴν ἧτταν, ἡττᾶται.*

νίκη· αʹ βʹ γʹ ζʹ θʹ ιʹ ιαʹ ιγʹ ιδʹ ιςʹ ιζʹ ιθʹ κʹ κβʹ κγʹ κςʹ κηʹ
ἧττα· δʹ εʹ ηʹ ιβʹ ιεʹ ιηʹ καʹ κδʹ κεʹ κζʹ κθʹ λʹ

F. 87. *Ἑτέρα ψῆφος περὶ ζωῆς καὶ θανάτου.*

Λάβε τὸ ποσὸν τῆς Σελήνης ἐκ τῆς ἡμέρας ᾗ κατεκλίθη ὁ πάσχων, καὶ ψήφισον ἐπὶ τῷ ὀνόματι τοῦ πάσχοντος ποιήσας ὁμάδα, καὶ ὕφειλε τριακοντάδας ὅσας ἐνδέχεται, καὶ τὰ ἐναπομένοντα εἰσένεγκε εἰς τοὺς δύο στίχους, καὶ εἰ μὲν εἰς τὸν ἄνω στίχον ἔλθῃ, ζήσεται, εἰ δὲ εἰς τὸν κάτω, τεθνήξεται.

1 *πράξεως* corr., cf. v. 9 : *ἄρξεως* cod. 7 *ἤφειλον* cod. 9 *τῆς πρ. τῶν ἡμερῶν* transp. cod. 23 *Ψήφησον* cod. 31 Leg. *πόστον*? cf. p. 163, 28 *ἧς* cod. 32 *ψήφησον* cod. 33 *ἤφειλε* cod.

Ὑπόδειγμά ἐστι τὸ λεγόμενον τοιοῦτον· λέγεται ὁ πάσχων Παῦλος. ἔχει τὸν ἀριθμὸν τὸ ὄνομα τοῦτο ψπαʹ, ἔχει δὲ καὶ ἡ Σελήνη τὴν ἡμέραν ἐκείνην τρίτην καὶ δεκάτην. ψηφίζεται δὲ τοῦτο, χωρὶς τοῦ νʹ, τρὶς καὶ ιʹ, ἔχει δὲ ὁ ἀριθμὸς τούτου τοῦ ὀνόματος οθʹ, ὡς εἶναι ὅλην τὴν ὁμάδα, ͵αψξʹ. ὕφειλον αὐτὰ οὕτως· νηʹ ἢ λʹ. ͵αμψ, καὶ μένουσιν κʹ. ταῦτα ζήτησον εἰς τὸν στίχον, καὶ εὑρήσεις εἰς τὸν στίχον τὸν ἀνωτέρω, ἤγουν τῆς ζωῆς.

αʹ γʹ δʹ ζʹ θʹ ιʹ ιαʹ ιγʹ ιδʹ ιςʹ ιζʹ ιθʹ κʹ κβʹ κγʹ κςʹ κηʹ ζωή.
βʹ εʹ ςʹ ηʹ ιβʹ ιεʹ ιηʹ καʹ κδʹ κεʹ κζʹ κθʹ λʹ θάνατος.

F. 87. *Ἑτέρα ψῆφος κατ' Αἰγυπτίους περὶ ζωῆς καὶ θανάτου καὶ μακρονοσίας.*

Ψήφισον ἀπὸ τῶν κεʹ τοῦ κατ' Αἰγυπτίους Ἐπιφὶ μηνός, κατὰ δὲ Ἀλεξανδρεῖς Πανέμου, τουτέστιν ἀπὸ τοῦ Κυνάστρου τοῦ κατὰ Ῥωμαίων Ἰουλίου <κεʹ>, τίθει δὲ κατὰ μῆνα ἡμέρας εʹ ἀρχόμενος, καθὼς προείρηται, ἀπὸ τῆς κεʹ Ἰουλίου ἕως τῆς ἡμέρας ᾗ κατεκλίθη ὁ πάσχων. τοῦ δὲ μηνὸς ἐν ᾧ κατεκλίθη ὁ νοσῶν μὴ βάλλῃς εʹ, ἀλλὰ πάσας τὰς ἡμέρας ἕως αὐτῆς ἡμέρας ᾗ κατεκλίθη. εἶτα πρόσθες εἰς αὐτὰς τὰς ἡμέρας ωοʹ, καὶ ὅσον ἂν ἀναβῇ ὁ ἀριθμός, μέριζε παρὰ τῶν λςʹ, καὶ τὰ περισσεύοντα ζήτησον εἰς τοὺς ὑποκειμένους στίχους, καὶ εὑρήσεις τὴν ἀπόβασιν τοῦ πάσχοντος.

Ἀρχὴ στίχων διὰ τῶν λςʹ.

αʹ ζωή	*ηʹ θάνατος.*
βʹ θάνατος.	*θʹ ζωή.*
γʹ θάνατος.	*ιʹ παρατηρισμὸς θανάτου.*
δʹ μακρονοσήσας σωθήσεται.	*ιαʹ ζωή.*
εʹ θάνατος.	*ιβʹ θάνατος.*
ςʹ ταχέως ὑγιανεῖ.	*ιγʹ ζωή.*
ζʹ ζωή.	*ιδʹ μακρονοσήσας σωθήσεται.*

5 *τρεῖς καὶ δεκάτη* cod., corr. 6 *τρίς*. Leg. *τρεῖς* *οθʹ*] Leg. *φοθʹ*? 7 *ἤφειλον* cod. 14 *Αἰγυπτίων* cod., corr. 15 *Ἰουλλίου* cod. *κεʹ* suppl., cf. v. 17. At legendum *ιθʹ*? Cf. *Cat.*, IV, p. 124 n. 2 etc. 17 *ἰουλλίου* cod. 18 *ᾗ* corr. : *ἧς* cod. 19 *ᾗ* corr. : *ἧς* cod. 30 *ὑγιαίνει* cod.

ιε′ πολυπλόκως νοσήσας θνήσκει.
ις′ ζωή.
ιζ′ κινδυνεύει.
ιη′ μακρονοσήσας καλῶς ἕξει.
ιθ′ κινδυνεύει.
κ′ θάνατος.
κα′ πολὺν χρόνον κινδυνεύσει.
κβ′ .ζωή.
κγ′ ζωή.
κδ′ μακρονοσήσας ζήσεται.
κε′ θάνατος.
κς′ κινδυνεύσας σωθήσεται.
κζ′ ζωή.
κη′ ζωή.
κθ′ κινδυνεύσει.
λ′ ζωή.
λα′ ζωή.
λβ′ ζωή.
λγ′ θάνατος.
λδ′ ζωή.
λε′ ζωή.
λς′ ζωή.

Ἑτέρα γνῶσις περὶ ζωῆς, θανάτου καὶ μακρονοσίας.

Ἐὰν πέσῃ τις ἄρρωστος, σκόπει ἀκριβῶς ἐν ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος κατεκλίθη, καὶ ψήφισον τὰ στοιχεῖα τοῦ ὀνόματος αὐτοῦ ἀκριβῶς, καὶ ὕφειλον τρία, τρία, καὶ τὰ ἀπομένοντα πρόσβαλε εἰς τὰς ὑποκειμένας τῶν ζ′ ἡμερῶν ἀποκρίσεις, καὶ εὑρήσεις τὴν ἀπόβασιν, ἐὰν μείνῃ α′ ἢ β′ ἢ γ′ ἑκάστης ἡμέρας ἰδίαν ἀπολογίαν.

κυριακή·	*α′ ἀποθνήσκει*	*β′ μακρονοσήσει*	*γ′ οὐκ ἀποθνήσκει*
δευτέρα·	*α′ μακρονοσήσει*	*β′ ἀποθνήσκει*	*γ′ οὐκ ἀποθνήσκει*
τρίτη·	*α′ ἀποθνήσκει*	*β′ ζήσεται*	*γ′ οὐκ ἀποθνήσκει*
τετάρτη·	*α′ ἀποθνήσκει*	*β′ μακρονοσήσει*	*γ′ οὐκ ἀποθνήσκει*
πέμπτη·	*α′ μακρονοσήσει*	*β′ ἀποθνήσκει*	*γ′ οὐκ ἀποθνήσκει*
παρασκευή·	*α′ ἀποθνήσκει*	*β′ ζήσεται*	*γ′ οὐκ ἀποθνήσκει*
σάββατον·	*α′ ἀποθνήσκει*	*β′ ζήσεται*	*γ′ οὐκ ἀποθνήσκει*

Ἐὰν δὲ θέλῃς νοῆσαι ἐν ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος ἀποθνήσκει, σκόπει οὕτως· ψήφισον τὸ ὄνομα τοῦ κατακλιθέντος ἀκριβῶς, καὶ ὕφειλον, ὡς ἀνωτέρω ἔφημεν, τρία, τρία, καὶ σκόπησον εἰς τὰς κατωτέρωθεν τριῶν στίχων δηλώσεις, καὶ εὑρήσεις ἐν οἵᾳ ἡμέρᾳ τῆς ἑβδομάδος ἀποθνήσκει.

ἐὰν μένῃ α′, τρίτῃ ἢ παρασκευῇ ἢ σάββατῳ ἀποθνήσκει,
ἐὰν δὲ μένῃ β′, δευτέρᾳ ἢ πέμπτῃ ἀποθνήσκει,
ἐὰν δὲ μένῃ γ′, κυριακῇ ἢ τετάρτῃ ἀποθνήσκει.

16 *ψήφησον* cod. 17 *ἤφειλον* cod. 28 *ψήφησον* cod. 29 *ἤφειλον* cod. 32 *σάββατον* cod..

Ἑτέρα γνῶσις περὶ ἀρρώστων Πρώτῃ τοῦ μηνὸς ἐὰν κατακλιθῇ τις, φόβον θανάτου ἔχει ἕως ἡμέρας τρίτης, εἰ δὲ καὶ διαβῇ τὰς γ′ ἡμέρας, ἀσθενεῖ ἡμέρας λ′ καὶ ὑγιαίνει.

Δευτέρᾳ τοῦ μηνὸς ἐὰν κατακλιθῇ τις, φόβος ἐστὶ πολὺς ἕως ἡμέρας η′. εἰ δὲ καὶ διαβῇ τὰς η′ ἡμέρας, ἀσθενεῖ βαρέως καὶ ὑγιαίνει.

Τρίτῃ τοῦ μηνὸς ἐὰν κατακλιθῇ τις, νοσεῖ ἐλαφρῶς καὶ ὑγιαίνει.

Τετάρτῃ τοῦ μηνὸς ἐὰν κατακλιθῇ τις, φόβον θανάτου ἔχει ἕως ἡμέρας κη′ · εἰ δὲ καὶ διαβῇ τὰς κη′ ἡμέρας, ὑγιαίνει.

Πέμπτῃ τοῦ μηνὸς ἐὰν κατακλιθῇ τις, ἀσθενεῖ ἕως θανάτου καὶ ὑγιαίνει.

Ἕκτῃ τοῦ μηνὸς ἐὰν κατακλιθῇ τις καὶ οὐκ ὑγείαν ἕξῃ εἰς τὰς ιε′, τελευτᾷ.

Ἑβδόμῃ τοῦ μηνὸς ἐὰν κατακλιθῇ τις, ἀσθενεῖ ἕως θανάτου καὶ ὑγιαίνει.

Ὀγδόῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς ἀσθενεῖ βαρέως, καὶ ἐὰν εἰς τὰς ιε′ οὐχ ὑγιανῇ, ἀποθνήσκει.

Ἐννάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς ἀσθενεῖ βαρέως καὶ ἀποθνήσκει.

Δεκάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς ἀποθνήσκει.

ια′. Πρώτῃ καὶ δεκάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς ὑγιαίνει.

ιβ′. Δευτέρᾳ καὶ δεκάτῃ τοῦ μηνὸς ἐλπίδας ἔχει ζωῆς ὁ κατακλιθεὶς ἕως ἡμέρας ιε′. ἐὰν οὐχ ὑγιανῇ, εἰς τὰς ις′ ἀποθνήσκει.

Τρίτῃ καὶ δεκάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς φόβον ἔχει ἕως ἡμέρας ιη′. εἰ δὲ διαβῇ τὰς δεκαοκτώ, ὑγιαίνει.

ιδ′. Τετάρτῃ καὶ δεκάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς φόβον θανάτου ἔχει ἕως ἡμέρας ιε′ · εἰ δὲ διαβῇ τὰς ιε′ ἡμέρας, ὑγιαίνει.

ιε′. Πέμπτῃ καὶ δεκάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς ταχέως ὑγιαίνει.

ις′. Ἕκτῃ καὶ δεκάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς φόβον ἔχει ἕως ἡμέρας κα′ · εἰ δὲ διαβῇ τὰς κα′ ἡμέρας, ζήσεται.

ιζ′. Ἑβδόμῃ καὶ δεκάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς φόβον ἔχει ἕως ἡμέρας ιθ′ · εἰ δὲ καὶ διαβῇ τὰς ιθ′ ἡμέρας, ζήσεται.

ιη′. Ὀγδόῃ καὶ δεκάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς ταχέως ὑγιαίνει.

ιθ′. Ἐννάτῃ καὶ δεκάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς ταχέως ὑγιαίνει.

Εἰκοστῇ τοῦ μηνὸς ὁ κατακλιθεὶς νοσεῖ ἡμέρας ε′ καὶ ὑγιαίνει.

Εἰκάδι πρώτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς τελευτᾷ.

Εἰκάδι δευτέρᾳ τοῦ μηνὸς ὁ κατακλιθεὶς νοσεῖ ἡμέρας ις′, καὶ ὑγιαίνει.

2 *τρίτης* corr. : *τρεῖς* cod. 10-11 *καὶ ὑγιαίνει* delendum ? sed cf. v. 14-15. 12 *ἕξει* cod. 17 et 22 *οὐκ* cod. 22 *ὑγιανεῖ* cod.

Εἰκάδι τρίτη τοῦ μηνὸς ὁ κατακλιθεὶς ἀσθενεῖ βαρέως καὶ ὑγιαίνει.

Εἰκάδι τεταρτη τοῦ μηνὸς ὁ κατακλιθεὶς ἀσθενεῖ ἡμέρας κα' καὶ ὑγιαίνει.

Εἰκάδι πέμπτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς νοσεῖ ἡμέρας ὀλίγας, καὶ ὑγιαίνει.

Εἰκάδι ἕκτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς ὑγιαίνει καὶ οὐκ ἀποθνήσκει.

Εἰκάδι ἑβδόμῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς ὑγιαίνει.

Εἰκάδι ὀγδόῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς φόβον θανάτου ἔχει.

Εἰκάδι ἐννάτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς φόβον θανάτου ἔχει.

Τριακοστῇ τοῦ μηνὸς ὁ κατακλιθεὶς φόβον θανάτου ἔχει.

Τριακοστῇ πρώτῃ τοῦ μηνὸς ὁ κατακλιθεὶς φόβον θανάτου ἔχει ἕως ἡμερῶν δέκα.

Π ε τ ο σ ί ρ ε ω ς ἑ τ έ ρ α γ ν ῶ σ ι ς(1). *Περὶ ἑνὸς ἑκάστου τῶν ὑπ' ἐμοῦ εὑρισκομένων πρὸς τὸν ἀνθρώπινον βίον διαπέμψασθαί σοι ἐξακριβευσάμενος οὐκ ὤκνησα, σὺ δὲ τῆς θεοπνεύστου προνοίας ἐνέργει τοῖς ὑπ' ἐμοῦ γραφομένοις· ἀναγκαίας γὰρ οὔσης τῆς περὶ τῶν κατακλινομένων ἀνθρώπων συνθέσεως, ἐπίστασθαι πρότερον πότε ὑγιαίνουσι ἢ οὔ, ὑπέταξά σοι ὄργανον κανονικόν, δι 'οὗ ἐπισκεπτόμενος ἀεὶ ἀδιάπτωτος ἔσῃ. τὸ αὐτὸ ἐπὶ νίκης μονομάχων καὶ πραγμάτων καὶ ἀποδιδρασκόντων καὶ τῶν τούτοις ὁμοίων. σκέπτου δὲ οὕτως· δέξαι τοῦ κατακλιθέντος ἢ τοῦ φυγόντος ἢ τοῦ ἀντιδίκου καὶ τῶν τούτοις ὁμοίων τὸ ὄνομα, καὶ ἀρίθμει ἐπιμελῶς, καὶ πρόσβαλε αὐτῷ τὸν παρακείμενον ἀριθμὸν ἐκείνης τῆς ἡμέρας τῆς Σελήνης, καὶ μέριζε παρὰ τῶν κθ',*

1ss. ubique librarius *εἰκὰς* scripsit pro *εἰκάδι* 18 *ἐξακριβωσάμενος* *Cat.*, IV, 120, 7, fors. recte 23 *μονομαχιῶν*, l. c., p. 120. cf. infra p. 196, 26 26 *αὐτό* cod.

(1) Hanc epistulam edidit Iriarte, *Biblioth. Matrit. codd. Graeci*, p. 338. Inde habuit Riess, *Petos. et Necheps. fragm.* (Philologus Supplementbd. VI), p. 384 ss. Aliam formam eiusdem epistulae edidit Olivieri, *Cat. astrol.*, IV, p.121 ; de qua cf. Mondry-Beaudouin, *Revue critique* 1903, 5t. II, p. 126. — Exstat haec epistula etiam in cod. Parisino 2419 (= Astrol. 4), f. 32, cap. *κβ'*.— De methodo huius divinationis, cf. Bouché Leclercq, *Astrol. grecque*, p. 538 ss.

καὶ τὰ καταλιμπανόμενα ἐπιθεώρει ἐν τῷ ὀργάνῳ. καὶ εἰ μὲν εὕρῃς ἐν τῇ μεγάλῃ ζωῇ, χρονίσει, εἰ δὲ εὑρεθῇ ὅπου λέγει μέγας θάνατος, χρονίσει καὶ τελευτήσει. ἐὰν δὲ ὁ τῆς Σελήνης ἀριθμὸς εὑρεθῇ ἐν τῷ ὑπεργείῳ, ὁ δὲ τοῦ κάμνοντος ἐν τῷ ὑπογείῳ, ἐγγὺς μὲν κινδύνου γενήσεται, σωθήσεται δέ. ἐὰν δὲ ὁ τοῦ κάμνοντος εὑρεθῇ ἐν τῷ ὑπεργείῳ, ὁ δὲ τῆς Σελήνης ἐν τῷ ὑπογείῳ, ὀχληθεὶς σωθήσεται. ἐὰν δὲ ἀμφότερα ἐν τῷ ὑπογείῳ συνέλθωσι, τελευτᾷ.

Ὑπόδειγμα· Ἐν τῷ εἶναι τὴν Σελήνην ἡμερῶν ιζ' ἔχει τὸν παρακείμενον ἀριθμὸν ωϟγ', καὶ τὸ ὄνομα τοῦ δικαζομένου Ἀχιλλεὺς ͵ασος'. μίγνυμεν τὰς τοῦ ὀνόματος καὶ τὰς παρακειμένας τῇ ἡμέρᾳ τῆς Σελήνης, καὶ γίνονται ͵βρξθ'. καὶ ταῦτα μερίζομεν παρὰ τῶν κθ' · καὶ καταλιπόντες κγ' εἰςάγομεν ταύτας ἐν τῷ ὀργάνῳ, καὶ εὑρίσκοντες αὐτὰ ἐν τῇ μεγάλῃ ζωῇ λέγομεν τὸν μὲν Ἀχιλλέα νικᾶν, τὸν δὲ Ἕκτορα νικᾶσθαι, ἐπειδὴ εὑρέθη ἐν τῷ ὀργάνῳ καταλελειμμένη ἡ μία. ἔνθα ἡ μία, μικρὸς θάνατος.

F. 89v. *Τ ὰ π α ρ α κ ε ί μ ε ν α τ ῶ ν ἡ μ ε ρ ῶ ν τ ῆ ς Σ ε λ ή ν η ς*. Inter duas columnas legitur : *Σελήνης ἡμέραι καὶ ἀριθμοί.*

α'	͵αφπε'	ις'	ψλε'
β'	͵αρις'	ιζ'	ωϟγ'
γ'	͵αιθ'	ιη'	͵αωξ'
δ'	͵ατιε'	ιθ'	φλγ'
ε'	ωιδ'	κ'	͵αψξς'
ς'	χλδ'	κα'	͵βλθ'
ζ'	υλ'	κβ'	͵αφξς'
η'	ωνς'	κγ'	͵αυξδ'
θ'	χξε'	κδ'	͵αψξα'
ι'	χλθ'	κε'	͵ασξδ'
ια'	χϟδ'	κς'	͵αρδ'
ιβ'	͵αυμγ'	κζ'	ωπ'
ιγ'	͵ασπ'	κη'	ϡξς'
ιδ'	͵αχπα'	κθ'	͵αριξ'
ιε'	͵αρι'	λ'	͵αρμζ'

2 et 3 *χρονήσει* 10 Computatio requirit *ωογ'* 19 ss. Numeri qui in epistula *Cat*, IV, p. 121, edita praebentur, ab his quae in Matritensi traduntur, plerumque differunt ; interdum tamen cum eis consentiunt.

F. 90. *Ποίημα Πετοσίρεως φιλοσόφου.*— Circulus Petosiridis (de quo cf. supra, p. 61). In margine inferiore : *Τὸ ἄνω ὅλον φωτεινόν, τὸ δὲ κάτω ὅλον σκοτεινόν.*

Sub figure circuli, in ima pagina : *Σκίρτα δὲ πολλά, καὶ ποῦ φυγεῖν οὐκ ἔχεις, ὡς οὐδὲν εἶναι τὸν βίον διαγράφειν ἢ καπνὸν ἢ βόρβορον ἢ ἄνθος χλόης.*

F. 90v. Tabula : *ὤφειλον διὰ τῶν κθ'* : In tribus columnis inscriptae sunt summae quae ex multiplicatione efficiuntur numerorum *α'-ξβ'* per *κθ'*.

F. 91. *Αἱ φωτίσμεναι ἡμέραι τῆς Σελήνης: α' β' γ' ζ' θ' ι' ια' ιγ' ιδ' ις' ιζ' ιθ' κ' κβ' κγ' κς' κη'*

Αἱ ἀφώτιστοι ἡμέρας τῆς Σελήνης: δ' ε' ς' η' ιβ' ιε' ιη' κα' κδ' κε' κζ' κθ' λ'

Αἱ εὔχρηστοι ἡμέραι τῆς Σελήνης (1).

α'. Πρώτη τῆς Σελήνης. ὁ Μελάμπους ἔφη· ἡμέρα ὅλη εὔχρηστός ἐστιν. ἕτερος δὲ τῶν σοφῶν εἶπεν ὅτι πρωὶ καὶ μόνον. — In marg. (2) : *Πρωὶ ἐπερώτα.*

β'. Δευτέρα τῆς Σελήνης. ὁ Μελάμπους ἔφη ἀπὸ ὥρας ς' ἕως ἑσπέρας εὔχρηστον εἶναι· τὸ δὲ ἕτερον ἀντίγραφον μέσον ἡμέρας ἔφη. — In marg. : *Δείλης ἐπέρωτα.*

γ'. Τρίτη τῆς Σελήνης, ὅλη ἄχρηστος· οὕτως εἶπον ἀμφότεροι. — In marg. : *Μὴ χρῶ.*

δ'. Τετάρτη τῆς Σελήνης. ὁ Μελάμπους εἶπεν· ἀπὸ ὥρας γ' ἕως ὥρας δ' · ἕτερος δὲ τῶν σοφῶν εἶπε · πρωὶ καὶ μόνον. — In marg. *Διόλου ἐπερώτα.*

ε'. Πέμπτη τῆς Σελήνης. ὁ Μελάμπους ἔφη ἀπὸ ὥρας α' ἕως ὥρας ε' εὔχρηστον εἶναι · ἕτερος δὲ τῶν σοφῶν εἶπε · πρωὶ καὶ μόνον. — In marg. : *Μὴ χρῶ.*

ς'. Ἕκτη τῆς Σελήνης. ὁ Μελάμπους ἔφη· πᾶσα ἡ ἡμέρα ἄχρηστος. — In marg. : *Διόλ(ου) ἐπερώτα.*

ζ'. Ἑβδόμη τῆς Σελήνης. ἀπὸ ὥρας ς' ἕως ἑσπέρας εὔχρηστον αὐτὴν εἶναι φησὶν ὁ Μελάμπους. In marg. : *Πρωὶ μὴ χρῶ.*

16, 24, 28 *μόνον*] Legendum *μέσον* ? cf. v. 19, p. 155, 31.

---

(1) De lunario Melampodis, cf. *Cat. astr.*, VIII, 4, p. 102 ss.

(2) Haec adnotationes marginales, manu Constantini Lascaris adiectae, ex alio quodam codice desumptae sunt.

η'. Ὀγδόη τῆς Σελήνης. ὁ Μελάμπους ἔφη· ἀπὸ ὥρας θ' ἕως ἑσπέρας.

θ'. Ἐννάτη τῆς Σελήνης. πρωίας χρῶ ὃ μέλλεις ἐπιτελεῖν. In marg. : *Δείλης.*

ι'. Δεκάτη τῆς Σελήνης. μηκέτι ποιῇς μηδέν. — In marg. : *Δείλης.*

ια'. Ἑνδεκάτη τῆς Σελήνης. μηκέτι ποιῇς τί ποτε. — In marg. : *Δείλης.*

ιβ'. Δωδεκάτη τῆς Σελήνης. ἡ ἡμέρα ὅλη καλή. — In marg. : *Δείλης.*

ιγ'. Τρισκαιδεκάτη τῆς Σελήνης. ἀπὸ ὥρας ς' ἕως ἑσπέρας εὔχρηστός ἐστιν. — In marg. : *Πρωί.*

ιδ'. Τεσσαρεσκαιδεκάτη τῆς Σελήνης. πᾶσα ἡ ἡμέρα εὔχρηστος. — In marg. : *Δείλης.*

ιε'. Πεντεκαιδεκάτη τῆς Σελήνης. πᾶσα ἡ ἡμέρα ἄχρηστος. — In marg. : *Πρωί.*

ις'. Ἑξκαιδεκάτη τῆς Σελήνης. πᾶσα ἡ ἡμέρα εὔχρηστος. — In marg. : *Ὥρα γ'.*

ιζ'. Ἑπτακαιδεκάτη τῆς Σελήνης. ..... ἕως δείλης εὔχρηστος.— In marg. : *Δείλης.*

ιη'. Ὀκτωκαιδεκάτη τῆς Σελήνης. εὔχρηστος καὶ καλή.

ιθ'. Ἑννεακαιδεκάτη τῆς Σελήνης. δείλης μέχρις καλή. — In marg. : *Μὴ χρῶ.*

κ'. Εἰκοστὴ τῆς Σελήνης. καλὴ καὶ εὔχρηστος πᾶσα.— In marg. : *Μὴ χρῶ.*

κα'. Εἰκοστὴ πρώτη τῆς Σελήνης. πρωίας χρῶ. — In marg. : *Πρωί.*

κβ'. Εἰκοστὴ δευτέρα τῆς Σελήνης. χρῶ. — In marg. : *Πρωί.*

κγ'. Εἰκοστὴ τρίτη τῆς Σελήνης. πᾶσα ἡμέρα καλή. — In marg. : *Δείλης.*

κδ'. Εἰκοστὴ τετάρτη τῆς Σελήνης. μέσον ἡμέρας χρῶ. — In marg. : *Μὴ χρῶ.*

κε'. Εἰκοστὴ πέμπτη τῆς Σελήνης. δείλην χρῶ. — In marg. : *Δείλης.*

κς'. Εἰκοστὴ ἕκτη τῆς Σελήνης. ἄχρηστός ἐστι πᾶσα. — In marg. : *Δείλης.*

---

5 et 7 *ποιεῖς* cod. 19 Lacuna in cod. *ἕως δείλην* (*ου* super *ην* scriptum) 22 *δείλην* cum *ου* superscr. cod. 34 *δειληνῶ* (sic) cod.

κζ'. Εἰκοστὴ ἑβδόμη τῆς Σελήνης. πρωΐας χρῶ. — In marg. : *Μὴ χρῶ.*

κη'. Εἰκοστὴ ὀγδόη τῆς Σελήνης. πρωΐας χρῶ. — In marg. : *Δείλης.*

κθ'. Εἰκοστὴ ἐννάτη τῆς Σελήνης. ἄχρηστος. — In marg. : *Δείλης.*

λ'. Τριακοστὴ τῆς Σελήνης. πρωΐ εὔχρηστος. — In marg. : *Δείλης.*

Ἐπίγνωσις ὑπογείου καὶ ὑπεργείου Σελήνης.

α'. Ἄρχεται ὑπὸ γῆν εἶναι ἀπὸ ὥρας νυκτερινῆς ἡμισείας τῆς νεομηνίας.

β'. Ἀπὸ ὥρας α' νυκτερινῆς μέχρι τῆς αὐτῆς ἡμέρας.

γ'. Ἀπὸ ὥρας β' καὶ μοιρῶν δ' ἕως τῆς αὐτῆς ἡμέρας.

δ'. Ἀπὸ ὥρας γ' καὶ μοιρῶν γ' ἄχρι τῶν αὐτῶν εἰς τὴν ἐπιοῦσαν.

ε'. Ἀπὸ ὥρας δ' καὶ μοιρῶν ς' ἄχρι ἡμέρας τῆς αὐτῆς ὥρας δ'.

ς'. Ἀπὸ ὥρας δ' καὶ μοιρῆν θ' ἄχρι τῆς αὐτῆς ἡμέρας.

ζ'. Ἀπὸ ὥρας ε' καὶ μοιρῶν ς' ἄχρι τῆς αὐτῆς ἐπιούσης.

η'. Ἀπὸ ὥρας ς' καὶ μοιρῶν δ' ἄχρι τῆς αὐτῆς ἡμέρας.

θ'. Ἀπὸ ὥρας ζ' καὶ μοιρῶν ς' ἄχρι τῆς αὐτῆς ἡμέρας.

ι'. Ἀπὸ ὥρας ζ' καὶ μοιρῶν ια' ἄχρι τῆς αὐτῆς ἡμέρας.

ια' Ἀπὸ ὥρας η' καὶ μοιρῶν ς' ἄχρι τῆς αὐτῆς ἡμέρας.

ιβ' Ἀπὸ ὥρας θ' καὶ μοιρῶν.. ἄχρι τῆς αὐτῆς ἡμέρας.

ιγ'. Ἀπὸ ὥρας ι' καὶ μοιρῶν γ' ἄχρι τῆς αὐτῆς ἡμέρας.

F. 92. *Περὶ τῶν τῆς Σελήνης σημείων* (1).

Τριταία λεπτὴ καθαρὰ εὔδιος. τριταία λεπτὴ πυρρά, πνευμάτων μελλόντων κίνησιν. τριταία ἀμφοτέραις ταῖς κεραίαις ἐξ ἴσου

13 In marg. Lascaris scripsit *ὥρ...* et v. 14, *ὡρῶν*   13 ss. *ἡμέρας* pro *ἡμερινῆς* scriptum esse videtur falsa interpretatione signi astrologici   17 *ὥρας λ'* cod., corr.   24 Post *μοιρῶν* numerus deest.

(1) Haec saepe ad verbum consentiunt cum praesagiis *Cat.*, VIII, 1, p. 139, editis. Cf. etiam *Geopon.*, I, 1, 2 ss. et infra excerptum ex cod. 37, f. 158^{v}, editum p. 178.

φαίνουσα δυτικοὺς ἀνέμους διὰ νυκτός. τριταία βόρειον κέρας ἔχουσα καθαρὸν νότον κινεῖ. τριταία οὖσα ἔχουσα κεραίας ἀχλυώδεις ὄμβρους σημαίνει.

Τεταρταία παχυκέραιος ἢ νότον ἢ χειμῶνα. τὸ αὐτὸ καὶ τεταρταία. ἐρυθρὸς δὲ ὁ κύκλος ὀφθεὶς πυρρώδης μείζονα χειμῶνα σημαίνει. Σελήνη ἐρυθρὰ εὔχροος καὶ καθαρὰ εὔδιον δηλοῖ ἐν πανσελήνῳ. πανσέληνος <εἰ> ἐρυθρά ἐστι πυρροκόκκινος ἢ μελαινομένη πανσέληνος, ὑετώδης. ἡ ἐρυθρὰ ἅλως ἄνεμον μέλλοντα σημαίνει. μέλαινα ἅλως χειμερίας ἄκρον ἐστὶ σημεῖον. ῥηγνυμένη ἅλως μέλαινα χειμῶνα δηλοῖ.

F. 92. *Σεληνοδρόμιον τῶν τριάκοντα ἡμερῶν τοῦ δρόμου τῆς Σεγήνης* (1).

α' Σελήνης. Ἀδὰμ ἐπλάσθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθὴ εἰς τὸ πρᾶξαι, πωλῆσαι, ἀγοράσαι, πλέειν, ἐκδημεῖν, διαθήκας γράφειν, σώματα ὠνήσασθαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον ἐν ὀλίγαις ἡμέραις εὑρεθήσεται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. τὰ γεννώμενα καλότυχα καὶ καματερὰ καὶ ζωτικά. ὄνειρον ἐὰν ἴδῃς, γίνεται αὐθημερὸν καὶ καλὸν εἰς χαρὰν ἀποβήσεται.

β' Σελήνης. Εὔα ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ἐκτίσθη. αὕτη ἡμέρα καλή ἐστι τοῖς βουλομένοις γάμους ποιεῖν, οἴνους διαχύνειν καὶ τοῖς μείζοσιν ὁμιλεῖν, καὶ πραγματείαν ποιεῖν πρὸς γυναῖκας. ὁ ἀρξάμενος νοσεῖν πολλὰ παθὼν ἀναστήσεται. τὰ γεννώμενα τρόφιμα. φυτεύειν δεῖ μηδ' ὅλως. ὄνειρον ἐὰν ἴδῃς, γενήσεται ἑρμηνευόμενον μετὰ ἡμέρας πέντε.

γ' Σελήνης. Κάϊν ἐγεννήθη. αὕτη ἡμέρα παρατηρήσιμος· μὴ πωλήσῃς, μήτε ἀγοράσῃς. ὁ φυγὼν <οὐχ> εὑρεθήσεται, ὁ νοσεῖν ἀρξάμενος πολλὰ κινδυνεύσει. τὰ γεννώμενα ἐπίορκα καὶ βλάσφημα. φυτεύειν δεῖ μηδ' ὅλως. ὄνειρον ἐὰν ἴδῃς, ψευδές ἐστιν.

4-5 *τὸ αὐτο κ. τ.*] corruptum. Legendum *τεταρταία ἐρυθρά· ὁ δὲ κύκλος ?*   6 *Σελήνη* scripsi : *ἡ* cod.   7 *εἰ* suppl.   23 *δεῖ* corr. : *δὲ* cod.   26 *οὐχ* suppl.   28 *δεῖ* corr. : *δὲ* cod.

(1) Arcta necessitudine coniunctum est hoc lunarium cum excerpto *Cat.*, III, p.32 ss., edito. Cf. etiam *Cat.*, IV, p. 142 ss. ; VIII, 4, p. 105 ss. ; X, p. 121 et quae ipse edidi ex codice Scorialensi in tomo priore hius voluminis, p. 134 ss. — De huiusmodi « selenodromiis » cf. Cumont, *L'Antiquité classique*, II, 1933, p. 262 ss.

δ′ Σελήνης. Ἄβελ ἐγεννήθη. Αὕτη ἡ ἡμέρα καλή ἐστι πρωὶ ἐπερωτᾶν, θεμελίους ἐπιτιθέναι καὶ διδασκαλεύειν καὶ ἀνδρὶ μεγάλῳ προσέρχεσθαι. ὁ ἀσθενῶν πολλὰ κινδυνεύσει. τὰ γεννώμενα ἐπίνοσα καὶ δυσανάτροφα. ὄνειρον ἐὰν ἴδῃς, γενήσεται.

ε′. Σελήνης. Κάϊν τὴν οὐκ ὀρθῶς θυσίαν προσήνεγκεν. αὕτη ἡμέρα παρατηρήσιμος πρωὶ διαθήκας γράφειν, καὶ μόνον ἀνδράσι μεγίστοις. ἀπέχου καὶ πραγματείας. εἰ δέ τις ὀμόσῃ, ἐπιορκήσας οὐ ζήσεται.

ϛ′ Σελήνης. Νεβρὼθ ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθὴ ἐπὶ παντὸς πράγματος, ἐπιχαρίσαι, ἐπερωτῆσαι, γράφειν, τοξεύειν, ὁδοιπορεῖν, δούλους καὶ ζῷα κτᾶσθαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα καλότυχα καὶ εὐπαράβολα ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, ἑρμηνευόμενον γίνεται.

ζ′ Σελήνης. Ἐφονεύθη ὑπὸ τοῦ Κάϊν ὁ Ἄβελ. αὕτη ἡμέρα χαλεπὴ καὶ ἐπικίνδυνός ἐστιν. ἐν ὁδῷ μὴ ἐξέλθῃς, πράγματος μὴ ἐπιχειρήσῃς, κεφαλήν σου μὴ κείρῃς. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐκ εὑρεθήσεται. τὰ γεννώμενα ἐπίνοσα καὶ ἐπικίνδυνα καὶ δύστυχα καὶ ὀλιγοχρόνια. ὁ ἀρξάμενος νοσεῖν τελευτήσει. ὄνειρον ἐὰν ἴδῃς. γίνεται μετὰ ἡμέρας β′. τὸ δὲ ἕτερον ἀντίγραφον· ἀποβήσεται, φησί, μετὰ χρόνον μέντοι γε χαλεπόν.

η′ Σελήνης. Μαθουσάλα ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθὴ πρὸς πάντα, κλαδεύειν, φυτεύειν, σπείρειν, ἀγοράσαι, πωλῆσαι, πρᾶγμα ἐπιχειρῆσαι, δούλους καὶ ζῷα κεκτῆσθαι, βόας δαμάζειν, κοινωνίας ποιεῖν, πλέειν τε καὶ ἀποδημεῖν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται, τὰ γεννώμενα εὐθαλῆ καὶ τρόφιμα καὶ ζωτικὰ καὶ εὐπαράβολα καὶ καματερὰ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ὄνειρον ἐάν τις ἴδῃ, ψευδές ἐστιν.

θ′ Σελήνης. Λάμεχ ἐγεννήθη. αὕτη ἡμέρα οὔτε καλὴ οὔτε κακή, ἀλλ' ἕκαστος ποιήσει μετὰ προσευχῆς. δούλους καὶ τετράποδα μὴ ἀγοράσῃς. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον μόλις εὑρεθήσεται, τὰ γεννώμενα ἀφανῆ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν πολλὰ κινδυνεύσει καὶ οὕτως τῆς ὑγείας ἢ τοῦ θανάτου ἐπιτύχῃ. ὄνειρον ἐάν τις ἴδῃ, γενήσεται αὐθημερόν.

ι′ Σελήνης. Νῶε ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστι

1 πρωὶ. Leg. πρὸς τὸ? Delatte 5 τὴν] Legendum θεῷ, Delatte. 6 καὶ μόνον vix sanum. 22 μαθυσάλα cod. 27 καματερά pro καματηρά semper dicit scriptor. 29-30. Cf. pp. 162, 13-14. 30 Fort. προσοχῆς.

πάντα πράττειν, ἀγοράσαι, σπεῖραι, φυτεῦσαι, κλαδεῦσαι, γεωργεῖν, ἀποδημεῖν, σώματα ὠνήσασθαι, παῖδας εἰς μάθησιν διδόναι, κτήνη δαμάζειν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται, τὰ γεννώμενα καματερὰ καὶ εὐθαλῆ ἔσονται καὶ εὐπαράβολα καὶ ζωτικά. ὁ ἀρξάμενος νοσεῖν, ταχέως ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς ψευδές ἐστιν.

ια′. Σὴμ ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθὴ εἰς πᾶν ἔργον ποιῆσαι· ἀγοράσαι, πωλῆσαι, σπεῖραι, φυτεῦσαι, καρποὺς καὶ οἴνους διαχύνειν, παῖδας εἰς μάθησιν διδόναι, κλαδεύειν καὶ θεωργεῖν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον μόλις εὑρεθήσεται. τὰ γεννώμενα καλόψυχα καὶ εὐπαράβολα καὶ νοητικά. ὁ ἀρξάμενος νοσεῖν ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, διὰ πολλοῦ ἑρμηνεύεται.

ιβ′. Χὰμ ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ παρατηρήσιμος, πωλῆσαι ἢ ἀγοράσαι κακή, εἰς τρυγὸν βαλεῖν χεῖρα καλὴ ἐστιν. εἰ δὲ ἀγοράσῃς δοῦλον ἢ ἄλλο τι, φεύξεται ἀπὸ σοῦ καὶ ἀπόλλυται. τὸ δὲ ἀπολλύμενον οὐχ εὑρεθήσεται, τὰ γεννώμενα κακοποιὰ καὶ δυσανάτροφα καὶ ῥᾴθυμα καὶ βαρύθυμα καὶ ὀλιγοχρόνια καὶ ὀλιγοκάματα. ὁ ἀρξάμενος νοσεῖν ὑγιαίνει, πλὴν μετὰ πολλοῦ κινδύνου. ὄνειρον ἐὰν ἴδῃς, ἑρμηνευόμενον γίνεται, πλὴν ἀγαθὸν ἀποβήσεται.

ιγ′. Ἡ ἄμπελος ἐφυτεύθη ὑπὸ τοῦ Νῶε. αὕτη ἡμέρα καλή ἐστιν ἀμπέλους φυτεύειν, κλαδεύειν, δένδρα ἐμπῆξαι· εἰς γάμον καὶ μακροδίαν ὁδεύειν κακόν. τὸ ἀπολλύμενον εὑρεθήσεται. δοῦλος ἐὰν φύγῃ, μεθύσας κρατηθήσεται. τὰ γεννώμενα μέθυσα καὶ λοίδορα καὶ ἐπιμάνια. ὁ νοσῶν τελευτᾷ. ὄνειρον ἐὰν ἴδῃς, γίνεται μετὰ ἡμέρας β′ ἢ δ′.

ιδ′. Νῶε εὐλόγησε τὸν Σήμ. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθὴ εὐχὰς καὶ προσφορὰς προσφέρειν τῷ Θεῷ καὶ τοῖς ἁγίοις καὶ εἰς πᾶν πρᾶγμα ἐπιχειρῆσαι. τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα εὔτυχα καὶ εὐχάριστα, εὐπαράβολα καὶ καματερά. ὁ νοσῶν ταχέως ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, γίνεται μετὰ ἡμέρας <η′>, μέντοι γε ἐνέργειαν ἔχει.

ιε′. Αἱ γλῶσσαι τῶν οἰκοδομούντων τὸν πύργον μετηλλάγησαν. αὕτη ἡμέρα καλή ἐστι καμίνους σκευάζειν καὶ καίειν, τὰ γεωργικὰ ἐπισκέπτεσθαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ

13 καλὴ] Leg. κακή? 14 τρυγὸς cod. 25 Leg. ἐπιμανῆ? cf. p. 162, 10 27 Σήμ scripsi : Σὴθ cod. 29 ἐπιχαρῆσαι cod.; corr. 31 Numerus deest, supplevi ex *Cat.*, III, p. 35, 28.

γεννώμενα ἀργὰ καὶ εἰς † ὁμαλίαν ἔσονται. ὁ ἀρξάμενος νοσεῖν πολλὰ κινδυνεύσει, πλὴν ἰαθήσεται. ὄνειρον ἐὰν ἴδῃς, γίνεται μετὰ πολλῶν τῶν χρόνων.

ιϛʹ. Ναχὼρ ἐγεννήθη. αὔτη ἡμέρα καλή ἐστι πωλῆσαι καὶ ἀγοράσαι, εὔχεσθαι καὶ εἰς παντοῖον κάματον ἐπιχειρῆσαι, εὐχὰς καὶ προσφορὰς προσφέρειν Θεῷ. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται ὑπὸ στρατιωτῶν κρατούμενον. τὰ γεννώμενα μέθυσα καὶ λοίδορα. ὁ νοσῶν ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, γίνεται μετὰ δύο ἡμέρας.

ιζʹ. Σόδομα καὶ Γόμορρα κατεστράφησαν. αὔτη ἡμέρα χαλεπὴ καὶ ἐπικίνδυνός ἐστιν. εἰς ὁδὸν μὴ ἀπέλθῃς. οἱουδηποτοῦν πράγματος μὴ ἐπιχειρήσῃς· ἀποβήσεται γὰρ εἰς κακόν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα ἐπίνοσα καὶ δύστηνα καὶ ἐπικίνδυνα καὶ ὀλιγοχρόνια. ὁ ἀρξάμενος νοσεῖν τελευτᾷ. ὄνειρον ἐὰν ἴδῃς, γίνεται καὶ ἀφθόνως τηρηθήσεται, πλὴν μέντοι γε χαλεπόν ἐστι καὶ εἰς ἄλλο τι ἀποβήσεται.

ιηʹ. Ἰσαὰκ ἐγεννήθη. αὔτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εὐχὰς καὶ προσφορὰς προσφέρειν Θεῷ καὶ ἁγίοις, καρποὺς καὶ οἶνον καὶ ἔλαιον διαχύνειν, εἰς δὲ θέρος μὴ ἐπιβάλλεσθαι, παῖδας εἰς μάθησιν διδόναι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εἑρεθήσεται. τὰ γεννώμενα τρόφιμα, εὐθαλῆ, καματερὰ καὶ ἀληθινὰ καὶ δυνατὰ ἔσονται. ὁ νοσεῖν ἀρξάμενος ταχέως ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, γίνεται μεθ' ἡμέρας τινάς.

ιθʹ. Ἰακὼβ ἐγεννήθη. αὔτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστι σπεῖραι, φυτεῦσαι, κλαδεῦσαι, θερίσαι, ὁδεῦσαι, πλεῦσαι δὲ κακή. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται, τὰ γεννώμενα σοφὰ καὶ γνωστικά. ὁ ἀρξάμενος νοσεῖν μακροχρονίσει. (ἐν ἑνὶ <ἀντιγράφῳ>· ὅτι οὐκ ἀποθεραπευθήσονται). ὄνειρον ἐὰν ἴδῃς, γίνται μετὰ ἡμέρας δέκα, καὶ εἰς ἄλλον ἀποβήσεται.

κʹ Σελήνης. Ἰσαὰκ εὐλόγησε τὸν Ἰακώβ. αὔτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εὐχὰς καὶ προσφορὰς προσφέρειν Θεῷ καὶ ἁγίοις, καὶ εἰς πάντα κάματον ἐπιχειρεῖν· σπείρειν, θερίζειν, φυτεύειν, δεήσεις ἀρχόντων ἐπιδιδόναι. εἴς γε γάμον κακή ἐστιν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα τρόφιμα

1 ὁμαλίαν corruptum : ὁμιλίαν *Cat.*, III p. 35, 35 27 μακροχρονήσει cod. 28 ἀντιγράφῳ suppl. Delatte ; cf. p. 158, 20 ; p. 154. 19 32 θερίσειν cod. 33 Leg. ἄρχουσι, cf. p. 161 v. 11. εἰς γὰρ cod.

καὶ ζωτικὰ καὶ φιλόσοφα καὶ ἀληθινὰ ἔσονται. ὁ νοσῶν ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, ψευδές ἐστιν.

καʹ. Ἰσαὰκ εὐλόγησε τὸν Ἡσαῦ. Αὔτη ἡμέρα παρατηρήσιμος. εὐχὰς καὶ προσφορὰς προσφέρειν Θεῷ καὶ ἁγίοις καλόν ἐστιν. εἰς ὁδὸν μακρὰν μὴ ἀπέλθῃς. κριοὺς καὶ χοίρους ἀποτέμνειν καλὸν καὶ κυνηγεῖν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. τὰ γεννώμενα, εἰ ἀρσενικά, τεθνήξονται, εἰ δὲ θηλυκά, ζήσονται. ὁ ἀρξάμενος νοσεῖν τελευτᾷ. ὄνειρον ἐὰν ἴδῃς, ἀληθεύσει καὶ εἰς ἄλλον ἀποβήσεται.

κβʹ. Ἰωσὴφ ἐγεννήθη. αὔτη ἡμέρα καλὴ καὶ ἀγαθὴ ἄρχουσι ἐπέρχεσθαι καὶ εἰς πᾶν ἔργον ἐπιχειρῆσαι, σῖτον, ἔλαιον καὶ οἶνον ἐκχύνειν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, γίνεται μετὰ ἡμέρας βʹ. τὰ γεννώμενα εὐτυχῆ καὶ καματερὰ καὶ καλόψυχα ἔσονται.

κγʹ. Βενιαμὶν ἐγεννήθη. ἡμέρα καλὴ καὶ ἀγαθὴ σπεῖραι, φυτεῦσαι, κλαδεῦσαι, δένδρα ἐμπῆξαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. τὰ γεννώμενα λαμπροφανῆ και γεωργικὰ καὶ εὐτυχῆ. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, ἀληθεύει.

κδʹ. Φαραὼ ἐγεννήθη. ἡμέρα παρατηρήσιμος εἰς πᾶν ἔργον ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. τὰ γεννώμενα ξίφει τὸ αὐτῶν τέλος ἕξουσιν. ὁ ἀρξάμενος νοσεῖν κινδυνεύσει. ὄνειρον ἐὰν ἴδῃς, ψευδές ἐστιν.

κεʹ. Τὴν δεκάπληγον ἀπέστειλεν ὁ Θεὸς τοῖς Αἰγυπτίοις· αὔτη ἡμέρα χαλεπὴ καὶ ἐπικίνδυνος. ὁ ὀμοσας καὶ ἐπιορκήσας οὐ ζήσεται. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον κρατηθήσεται. τὰ γεννώμενα ἐπίνοσα. ὁ ἀρξάμενος νοσεῖν πολλὰ κινδυνεύσει. ὄνειρον ἐὰν ἴδῃς, μετὰ ἡμέρας τέσσαρας φόβον καὶ δειλίαν δηλοῖ.

κϛʹ. Μωυσῆς ῥάβδῳ ἔσχισε τὴν θάλασσαν, καὶ διήγαγε τοὺς Ἰσραηλίτας. αὔτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστι φρέατα σκάπτειν, ἀγροὺς ἐπιμελεῖσθαι καὶ πάντα τὰ γεωργικὰ διασκέπτεσθαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα εὐχάριστα καὶ ἀληθινά. ὁ ἀρξάμενος νοσεῖν ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, ἀληθές ἐστιν.

κζʹ. Τὸ μάννα ἔβρεξεν ὁ Θεὸς τοῖς Ἰουδαίοις ἐν τῇ ἐρή-

23 αὐτῶν cod. ἔξωσιν cod.

μῳ. αὕτη ἡμέρα καλή ἐστιν εἰς πᾶν ἔργον, πωλεῖν, χαρίζειν, ἀγοράζειν, παῖδα εἰς μάθησιν διδόναι, σπείρειν, φυτεύειν, θερίζειν, κλαδεύειν, ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον πρὸς γυναῖκα εὑρεθήσεται τὰ γεννώμενα τρόφιμα. ὁ ἀρξάμενος νοσεῖν ὑγιαίνει. ὄνειρον ἐὰν ἴδῃς, εἰς ἕτερον ἑρμηνεύεται. αὕτη ἡμέρα εἰς χαρμονὴν ἔσται.

κη΄. Τὸν βότρυν ἤγαγεν ὁ Θεὸς πρὸς Ἰησοῦν τοῦ Ναυῆ, αὕτη ἡμέρα καλή ἐστι τέκνα ζευγνύειν γάμῳ, χρεώστας ἀπαιτεῖν. δούλους καὶ βοῦς κτήσασθαι, παῖδας εἰς μάθησιν διδόναι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον κρατηθήσεται. τὰ γεννώμενα μέθυσα καὶ ἐπιλοίδορα καὶ ἐπιμανῆ. ὁ ἀρξάμενος νοσεῖν τελευτήσει. ὄνειρον ἐὰν ἴδῃς, ψευδές ἐστιν.

κθ΄. Οἱ Ἰουδαῖοι εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσῆλθον. αὕτη ἡμέρα οὔτε καλὴ οὔτε κακή, ἀλλ' ἕκαστος ποιείτω μετὰ προσευχῆς ὃ βούλεται. τὰ γεννώμενα μέσως ἔσονται. ὁ φυγὼν εἰς ὁδὸν τελευτήσει ἢ ὑπὸ γυναικὸς παραδοθήσεται. τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. ἀργύριον μὴ πίστευε. ὁ ἀρξάμενος νοσεῖν τελευτήσει. ὄνειρον ἐὰν ἴδῃς, γενήσεται μετὰ ἡμέρας γ΄.

λ΄. Σαμουὴλ ἐγεννήθη ὁ προφήτης. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εἰς πᾶν ἔργον, σιτοδοτεῖν, δοῦναι καὶ λῆψαι. τὰ γεννώμενα τρόφιμα καὶ εὔτυχα καὶ πιστὰ ἔσονται. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. ὁ ἀρξάμενος νοσεῖν κακῶς ἕξει. ὄνειρον ἐὰν ἴδῃς, ἀληθές ἐστιν.

F. 95v. Περὶ τῶν τοῦ Ἡλίου σημείων, πρόγνωσις χειμερινοῦ ἀέρος καὶ εὐδιεινοῦ (1).

Ἥλιος ἐρυθρὸς ἀνατέλλων καὶ μελαινόμενος, οἷον μελαινονεφὴς καὶ ἐρυθρονεφής, ὄμβρους δηλοῖ.

Ἥλιος ὑπὸ νεφῶν πεπιεσμένος μελάνων, ἢ ἀνατέλλων ἢ δύνων, ὑετώδης ἐστίν.

6 βότρυν scripsi : βόθρον cod. 8 κτήζεσθαι cod. 10 ἐπίμανα; Fuit fortasse ἐπιμάνια. Cf. p. 159, 25. cod. 13-14, Cf. p. 158, 29-30. 14 Leg. προσοχῆς? 22 λεῖψαι cod. 25 εὐδιηνοῦ cod.; corr.

(1) Cf. *Cat.*, VIII, 1, p. 139, 31 ss.; Heeger, *De Theophrasti περὶ σημείων libro*, Lipsiae 1889, p. 66 s. et infra excerptum ex codice 37 (Matrit. 4681), f. 156v, editum p. 176.

Εἰ ὑπὸ Ἥλιον προανατέλλει νεφέλη καὶ αὐτὸς ἀκτῖνας ἐπανατέλλει, ὑετώδης ἐστίν.

Ἥλιος μεσονεφὴς δύνων ὑετώδης καὶ χειμέριός ἐστιν.

Ἥλιος συνάγων εἰς ἑαυτὸν τὰς ἀκτίνας χειμῶνα δηλοῖ.

Ἥλιος ἀνατέλλων ἀκτινώδης, μεσονεφής, χειμέριός ἐστιν.

Ἥλιος ἀνατέλλων ἐρυθρονεφὴς ἀνεμώδης ἐστίν.

Ἥλιος ἀπὸ ἀνατολῆς ποικιλοτρόπως ἀνατέλλων χειμέριός ἐστιν.

Ἥλιος μετὰ τὴν δύσιν ἔχων νέφος ἐν τῇ δύσει χειμερίαν ἡμέραν δηλοῖ.

Ἥλιος εἰς δύσιν καταγόμενος ἐὰν κατὰ ἀριστερὰ μέρη μέλανα ἔχῃ νέφη πλησίον, εὐθέως ὄμβρον δεῖ προσδοκᾶν.

Ἥλιος ἀνατέλλων, ἐὰν περὶ τὰς ἀκτίνας σκοτεινὸν νέφος ἵσταται, ὄμβρον προλέγει.

Ἥλιος καθαρὸς ἁπλοῦς ἀνατέλλων εὐδίαν ἐπαγγέλλει.

Ἥλιος καθαρὸς δύνων ὁμοίως δίχα νεφῶν τὴν ἐπιοῦσαν εὐδίαν ἔσεσθαι δηλοῖ.

Ὀλίγον νέφος πρὸ τοῦ ἡλίου ἀνατέλλον· οὐ χρὴ προσδοκᾶν εὐδίαν.

Ἥλιος ὠχρὸς δύνων εὐδίαν σημαίνει καὶ νηνεμίαν.

Ἥλιος ἀπὸ μικροῦ ἀνερχόμενος, ἐπ' εὐρύτερον δὲ ὅμως αὐξανόμενος κατὰ ἀνατολὰς εὐδίαν σημαίνει.

F. 130v. Ὄργανον ἀστρονομικὸν Πετοσίρεως πρὸς Νεχεψὼ βασιλέα Ἀσσυρίων.

Ψῆφος σεληνιακὸς δι' οὗ ἔστι τὸν ἐπισκεπτόμενον τοὺς νοσοῦντας ἄπταιστον εἶναι περὶ ζωῆς καὶ θανάτου καὶ περὶ μονομάχων καὶ πράξεων καὶ περὶ πόλεως ἢ στεφάνου ἢ πρακτῆρος ἢ πλοκῆς καὶ ἀποδρασμοῦ καὶ εὑρέσεως καὶ τὰ τούτοις ὅμοια· ὑπετάξαμεν δὲ καὶ τὸ ὄργανον. ψήφισον δὲ ποσὸν τῆς Σελήνης, καὶ βλέπε εἰς τὸ ὄργανον τὸν ἀριθμόν, καὶ ψήφισον τὸ ὄνομα ὃ βούλει, καὶ θὲς ὁμοῦ, καὶ ὑφαίρησαι εἰς κθ΄, ἕως ὑπολειφθῶσι κθ΄ ἢ ἐλάσσω. καὶ τὸν ὑπολειφθέντα ἀριθμὸν θεώρει ἐν τῷ ὀργάνῳ καὶ ἐὰν εὕρῃς αὐτὸν ἐν τῇ μεγάλῃ ζωῇ, ταχέως ἐγερθήσεται· εἰ δὲ ἐν τῇ μέσῃ ζωῇ, πλείους ἡμέρας ἀσθενήσας ἐγερθήσεται· εἰ δὲ ἐν τῇ

3 μεσοννεφὴς cod. 24 ασυρίων cod. 28 Leg. τῶν τούτοις ὁμοίων? 28 Leg. πόστον? Cf. p. 148 31. 30 ὑποληφθῶσι cod.

*μικρᾷ ζωῇ, χρόνον ἀσθενήσας ἐγερθήσεται. ἐὰν δὲ ἐν τῷ μεγάλῳ θανάτῳ ἡ ψῆφος εὑρεθῇ, ταχέως τελευτήσει· εἰ δὲ ἐν τῷ μέσῳ θανάτῳ, πλείους ἡμέρας ἀσθενήσας τελευτήσει. ὑποδείγματος δὲ χάριν ψήφισον τὸ ποσὸν τῆς σελήνης ἐν ᾧ κατεκλίθη καὶ ἰδὲ εἰς τὸν ἀριθμὸν τοῦ μέσου· καὶ ἐὰν εὑρεθῇ ἐν τῷ ὑπογείῳ, ὁμοίως καὶ τοῦ κάμνοντος ψήφισον τὸ ὄνομα, καὶ ἐὰν εὑρεθῇ ἐν τῷ ὑπογείῳ, κινδυνεύσει μέν, οὐ θνήξεται δέ. ἐὰν δὲ ὁ τῆς Σελήνης κύκλος εὑρεθῇ ἐν τῷ ὑπογείῳ, ὁ δὲ τοῦ κάμνοντος ἐν τῷ ὑπεργείῳ εὑρεθῇ, ὀχληθεὶς σωθήσεται. ἐὰν δὲ ὁ τῆς Σελήνης καὶ ὁ τοῦ κάμνοντος εὑρεθῇ ἐν τῷ ὑπογείῳ, τελευτᾷ. ἡ δὲ ὑπόδειξις τῆς ψήφου ἐστὶν οὕτως ** ὥστε ἔχειν τὴν Σελήνην α΄, καὶ βλέπε τὸν παρακείμενον ἀριθμὸν ὅτι ἔχει ψήφους ͵αφκθ΄ καὶ Δαβὶδ ἔχει ψήφους α΄ γ΄ θ΄ γίνονται ὁμοῦ ͵β. ὕφειλον εἰς κθ΄, καὶ περιττεύουσι ψῆφοι ζ΄ πάλιν τῆς Σελήνης α΄ γίνονται ψῆφοι ͵αφπθ΄ καὶ Γολιὰθ ἔχει ψήφους ρκγ΄, γίνονται ὁμοῦ ͵αψιβ΄. ταύτας σύναψον ὁμοῦ καὶ ὕφαίρεσον εἰς κθ΄, καὶ περιττεύει ψῆφος α΄. ἐλθὲ οὖν ἐν τῷ ὑποκειμένῳ ὀργάνῳ καὶ εὑρήσεις ὅτι νικᾷ Δαβὶδ τὸν Γολιάθ.* — Subsequitur f. 131 organi figura, praefixo titulo : *Ἡμικύκλιον ἀναστάσεως, ζωῆς, πράξεως καὶ εὑρέσεως.* — Cf. Ernestum Riess. l. c. [supra, p. 70], p. 387.

F. 159. *Περὶ παιωνίας καὶ ὅσα ποιεῖν δύναται.*

Ταύτην οἱ Ῥωμαῖοι κάσταν ὀνομάζουσι· Παιωνία ἐκλήθη διὰ τὸ τὸν Παίωνα ταύτην εὑρηκέναι. αὕτη διώκει δαίμονας, θεραπεύει πᾶν πάθος ζῴου σὺν τῇ τροφῇ κοπεῖσα καὶ μιγνυμένη. ἀπελαύνει καὶ θηρίων ἰοβόλων ἀπειλὴν οἰνομέλιτι διδομένη, ῥύεται δὲ καὶ τοὺς ἀπὸ φαρμάκων δηλητηρίων προειλημμένους ἐσθιομένη· φορουμένη δὲ οὐκ ἐᾷ τινα τῷ φοροῦντι προσενενέγκαι δηλητήρια· ἐκπίπτει γὰρ ἀπὸ τοῦ προσάγοντος. τιθεμένη δὲ ἐν χωρίοις ἀποστρέφει χάλαζαν καὶ ἰριούβας καὶ μεγάλους χειμῶνας. καὶ ἐν πλοίοις δεσμουμένη ἀποδιώκει γνόφον καὶ κίνδυνον τοῦ βλάπτοντος ἀστέρος. διατηρεῖ δὲ πάντα ἄνθρωπον ἄνοσον φορουμένη, ἀποτρέπει καὶ λοιμικὴν νόσον, καὶ πᾶς αὐτὴν δαίμων φοβεῖται καὶ φρυάσσει· ἀνάκειται γὰρ τῷ ἀρχαγ-

4 Leg. *πόστον*? cf. p. 163, 28. 11 Post *οὕτως* lacunam sign. 13 Numeri corrupti 15 *ρκβ΄* corr. : *οκς΄* cod. 30 *ἰριούβας* quid sit nescio. Leg. *ἐρυσίβην*? 23 *κάσταν*, cf. infra p. 165, 13. 34 *φρυάσσει* scripsi : *φριάσει* cod.

γέλῳ τῷ ὄντι τεταγμένῳ ἐπὶ τῶν δαιμόνων. ἰᾶται δὲ καὶ πάντα ἄνθρωπον ἀπὸ μολυσμοῦ καὶ προχυμάτων καὶ βασκανίας. ῥύεται δὲ καὶ πάσης νόσου καὶ ἀπειλῆς ἀέρων ἐν ὁδῷ. ἡ δὲ χρῆσις αὐτῆς· κεκομμένης καὶ μετὰ μέλιτος προσφερομένης τοῖς ἡπατικοῖς καὶ σπληνικοῖς καὶ κοιλιακοῖς διδομένη, καὶ λιθιῶσιν ἐν οἴνῳ, τοῖς δὲ πυρέσσουσιν ἐν ὕδατι, τοῖς δὲ ἰσχιαδικοῖς καὶ τὰ νεῦρα ἀλγοῦσι μετὰ ἐλαίου ἀφέψῶν. τοῖς δὲ ληθαργικοῖς καὶ ὀνειρώττουσι περίαπτε μετὰ ἐλλεβόρου λευκοῦ, τοῖς δὲ κωλικοῖς περίαπτε μετὰ κοραλλίδος βοτάνης καὶ κολίταλα· ταῖς δὲ ἐχούσαις ὄλισθον περίαπτε ἀμύγδαλα τὰ μεμυκότα.

Παιωνία ἄρρην ἢ γλυκυσίδη. οἱ δὲ πρωτόροβον, οἱ δὲ ὀροβάδιον, οἱ δὲ ὀρόβαξ, οἱ δὲ αἱμάγωγον, οἱ δὲ μονιένιον, οἱ δὲ λαύραντα, Ῥωμαῖοι κάσταν <καλοῦσι>. φύλλα ἔχει ἡ μὲν ἄρρην βασιλικῷ καρύῳ ὅμοια, ἡ δὲ θήλεια ὑπέσχισται τὰ φύλλα ὥσπερ σμυρνίον, λωβοὺς δέ τινας ἀνίησιν ἐπ' ἄκρου τοῦ καύλου ἀμυγδάλου ὁμοίους, ὧν ἀνοιχθέντων εὑρίσκονται ἐρυθροὶ κόκκοι μικροὶ ἐμφερεῖς τοῖς τῆς ῥοᾶς, ἐν μέσῳ δὲ μέλανες, ἐμπόρφυροι ε΄ ἢ ς΄. ῥίζα δὲ τῆς μὲν ἄρρενος περὶ δακτύλου πάχος, μῆκος δὲ σπιθαμῆς, γευομένῳ στύφουσα. ἐπὶ δὲ τῆς θηλείας παραφυάδας ὥσπερ βαλάνους ἔχουσα ἐν τῇ ῥίζᾳ ζ΄ ἢ η΄ ὡς ἀσφόδελος. δίδοται ξηρὰ ἡ ῥίζα γυναιξὶ ταῖς μὴ ἐκ τόκου καθαιρομέναις, κινεῖ δὲ καὶ καταμήνια ἀμυγδάλου μέγεθος πινομένη. τοῖς τε κατὰ γαστέρα ὀδυνήμασι βοηθεῖ ποθεῖσα ἐν οἴνῳ, ὠφελεῖ δὲ καὶ νεφριτικοὺς καὶ ἰκτερικοὺς καὶ κύστιν ἀλγοῦντας. ἑψηθεῖσα δὲ ἐν οἴνῳ καὶ πινομένη κοιλίαν ἵστησι. τοῦ δὲ καρποῦ ι΄ ἢ ιβ΄ κόκκοι πυρροὶ ποθέντες οἴνῳ μέλανι αὐστηρῷ ῥοῦν τὸν ἐρυθρὸν ἵστησι, στομαχικοῖς τε καὶ δακνομένοις ἐσθιόμενοι βοηθοῦσι καὶ ὑπὸ τῶν παιδίων πινόμενοι καὶ ἐσθιόμενοι ἀρχὴν λιθιάσεως παραιτοῦνται· οἱ δὲ μέλανες καὶ πρὸς τοὺς ἐφιαλτῶν πνιγμοὺς καὶ ὑστερικὰς πνιγὰς καὶ ὀδύνας μήτρας ἐν μελικράτῳ οἴνῳ ὅσον ιε΄ κόκκοι πινόμενοι ποιοῦσι. φύεται δὲ ἐν ὑψηλοτάτοις [καὶ] ὄρεσι καὶ ἀκρωτηρίοις.

Καὶ ἡ θήλεια τὰ αὐτὰ ποιεῖ. ποιεῖ δὲ καὶ πρὸς τὸ μὴ λυσσᾶν μήτε

4 *κεκομένης* cod. 5 *λιθίωσιν* cod. 7 *λιθαργικοῖς* cod. 8 *περιάπται* cod. (bis) *ἐλεβόρου* cod. *κολικοῖς* cod. 11-30 Ex Dioscuride, III, 140 (II, p. 149, Wellmann). 11 *γλυκυσίδην* cod. 12 *μονίενιον*] Lege *μηνογένειον* *λαύραντα* deest apud Diosc. 13 *ἡ* scripsi : *ὁ* cod. 18 *ἄρρηνος* cod. *γενομένῳ* cod. 23 *νηφριτικούς* cod, 26 *τὸν*] *τε* cod. 27 *ἐσθιόμενα* cod. 31 *καὶ* delevi

ἄνθρωπον, μήτε κύνας. δίδοται δὲ ἐν τροφῇ ὀρνέων. τὴ(ν) κόρυζαν ἀπελαύνει παραβαλλομένη ἐν τροφῇ. τοὺς δὲ καταδεδεσμένους ὑπὸ φαρμακείας λῦσον οὕτως· ἀφεψήσας ὕδατι τὰ φύλλα λοῦσον τῷ ἀφεψήματι τὸν κάμνοντα καὶ πότισον καὶ περίαψαι αὐτῷ τὴν ῥῖνα. λαμβάνεται δὲ οὕτως· ἁγνεύσας ἡμέρας γ' ἀσπάζου αὐτην τὴν βοτάνην ἐλθὼν πρωὶ εἰς αὐτὴν καὶ λέγε τρίς· « Χαῖρε ἱερὰ βοτάνη παιωνία, ὅτι σὺ βασιλεὺς πασῶν τῶν βοτανῶν ». ἡλίου δὲ δύνοντος ἐπὶ τρεῖς ἡμέρας λέγε τὰ αὐτά, εἶτα τῇ δ' ἡλίου ὄντος ὑπὲρ γῆν ἐκ τετραγώνου σκάπτε ἀπὸ πηχέως ἀπέχων τῆς βοτάνης, καὶ ἀνάδησον αὐτῆς τοὺς κλάδους, εἶτα σκάψας ἐπιμελῶς ἀν(α)βάστασον ἐκ ῥιζῶν τὴν βοτάνην, ἢ προσδήσας αὐτῇ κύνα, τύπτε αὐτόν, ἵνα ἀνασπάσῃ, καὶ ἀπόθου ἐν ὀθονίῳ καθαρῷ καὶ εἰς τὸν βόθρον βάλλε μελίκρατον ἑρμείαν καὶ ῥίνισμα χρυσοῦ καὶ ἀργύρου καὶ μὴ περικάλυπτε δὲ τὸν τόπον τῇ γῇ. αὐτὴν δὲ βαστάσας κόμιζε εἰς τὴν οἰκίαν σου καὶ ἀπόθου ἱερατικῶς ἐπὶ τρίποδα ἐστεμμένην ἄνθεσι τοῖς τοῦ καιροῦ, καὶ ἄντικρυς ποιήσας ἄνθρακας ἄτμιζε ἀρώμασι παντοίοις, καὶ λέγε τὸν λόγον τοῦτον· « Λόγε ἀένναε κόσμου καὶ οὐρανὲ καὶ ῥωσμένη καὶ Ἥλιε πανδερκῆ ἐνθάδε εὐμενήσατε ἐπὶ τῆς ἱερᾶς καὶ ἐνδόξου παιωνίας, ὅπως μοι πάνυ μέν(ῃ) μετὰ τῆς ὑμετέρας δυνάμεως, καὶ μή με φύγῃ, ἀλλ' ἔχοιμι αὐτὴν ἐπὶ σωτηρίᾳ παντὸς ἀνθρώπου καὶ εὐρωστίᾳ, καὶ ἐνδυναμώσατε αὐτὴν εἰς πᾶσάν μοι πρᾶξιν· ὅπου ἂν εἶμι ἐν κόσμῳ ὅς ἐστιν ὑπήκοός μοι, ἔστω μετ' ἐμοῦ, κύριε Θεὲ Ἰάω Ἰάω. »

Ἐὰν δὲ γυναικὸς μήτρα μὴ κατέχῃ τὸ σπέρμα, τὸ ἐσπαρμένον ἐν τῇ γῇ θεῖον βλάστημα ζωννύσθω. τῇ δὲ μὴ βουλομένῃ τεκεῖν τὸ κεχηνὸς σπέρμα μετὰ ῥύπου ἡμιόνου περίαπτε. ταῖς δὲ ἐν ὀδύναις τικτούσαις ἢ κινδυνευούσαις τὸ κεχηνὸς σπέρμα τῆς βοτάνης ἐν ἐλαίῳ ἀλειφέσθωσαν τὴν ὀσφὺν καὶ τὸ ὑπογάστριον καὶ τέξονται.

---

1 *τὴ*[.] cod. 3 *φαρμακίας* cod. 4 *τὸ ἀφέψημα* cod. 7 *παιονία* cod. 8 *λέγεις* cod. 9 *πηχὸς* cod. 11 *ἀν*[.]-*βάστασον* cod. 13 *ῥάνον ἑρμείαν* cum *μελικ* supra *ῥάνον* cod. Quid sit *ἑρμείαν* nescio. Pro *ῥάνον* legendum *ῥάφανον*? 17 Post *λόγον τοῦτον*] In margine: *ἐν ἄλλῳ· ἅγιοι ἀνάρ.ρι..* [*Ἀνάργυροι* Delatte] *ἔλθετε τῇ κ... ταύτῃ ἐπὶ τῆς ἱερᾶς καὶ ἐνδόξου παιωνίας ἵνα μοι παραμένῃ* 18 *κόσμου* corr. Delatte: *κόσμε* cod. *ῥωσμένη* vix sanum 20 *μεν*[.] cod. *φύγε* cod. 23 *μοι*] Leg. *σοι*? 23 Post *ἰάω*, in margine: *πάτερ υἱὲ καὶ ἅγιον πνεῦμα.* 24 ss. Cf. *Coeran.*, p. 13, 20 ss. Ruelle 24 *κατέχει* cod.

F. 168. *Τρωγλοδύτης στρουθίον ἐστὶ πάντων τῶν ὀρνέων μικρότερον, πλὴν τοῦ λεγομένου βασιλίσκου, ἐν φραγμοῖς μάλιστα διαιτώμενον, ὅπερ ὀπτόν τε καὶ ὠμὸν τεταριχευμένον ἐσθιόμενον τοὺς ἐν νεφροῖς λίθους θρύπτει, καὶ καυθέντος δὲ αὐτοῦ ἡ τέφρα πινομένη τὸ αὐτὸ δρᾷ.*

EXCERPTA EX CODICE 37 (Matrit. Bibl. Nat. 4681)

Excerpta ex calendario Clodii.

Curtii Wachsmuth editione Calendarii Clodii (*Laur. Lydi liber de ostentis*, 1887, p.117 ss.) breviora plerumque, pleniora nonnunquam sunt exilia haec excerpta vel ab illa differunt, ita ut codex Scorialensis ad pristinam formam huius calendarii restituendam alicuius sit momenti.

F. 151ᵛ. *Π ε ρ ὶ τ ῆ ς κ ι ν ή σ ε ω ς τ ῶ ν ἀ σ τ έ ρ ω ν τ ο ῦ ὅ λ ο υ χ ρ ό ν ο υ.*

Μ η ν ὶ Ἰ α ν ο υ α ρ ί ῳ: —

α'. Ὁ Ἥλιος ὑψοῦται· ὁ δὲ Ἀετὸς σὺν τῷ Στεφάνῳ καθόλου δύεται.

β'. Τὸ μέσον τοῦ Καρκίνου δύνει καὶ οἱ ἄνεμοι ἐναλλάσσονται.

γ'. Ὅλος ὁ Καρκίνος δύνει, καὶ τροπὴ τοῦ ἀέρος ποικίλη.

δ'. Ὁ Δελφὶν περὶ τὸν ὄρθρον ἀνίσχει· καὶ ἔστι μὲν ὅτε πνέει νότος, ὡς ἐπὶ τὸ πλεῖστον δὲ βορρᾶς βαρύς.

ε'. Ἡ Λύρα ἀνίσχει καὶ ὁ Ἀετὸς δύεται, καὶ ταραχὴ ἀνέμων.

ιγ'. Εἶδοὶ ἰανουάριαι καὶ ἄστρον κρυπτόν, ὅπερ εἰ τῆς ἀνατολῆς ἐπιλάβεται, βροχὴν φέρει.

ιδ'. Ὁ Λέων ἄρχεται δύεσθαι καὶ ποικίλη τροπὴ βορρᾶ καὶ ἀπαρκτίου.

ιϛ'. Ὁ Ἥλιος ἐν Ὑδροχόῳ, καὶ ἢ χειμὼν ἢ εὖρος πολύς.

ιζ'. Τὸ πλέον τοῦ Λέοντος δύεται. ἐκ τούτου ἀνεμομαχία.

ιη'. Ὅλος ὁ Λέων δύεται· καὶ ἀνεμομαχία ἴσως μετὰ βροχῆς.

ιθ'. Τροπὴ τοῦ ἡλίου καὶ τὸ μέσον τοῦ χειμῶνος.

κ'. Ὁ Ὑδροχόος ἄρχεται ἀνίσχειν.

κα'. Τὸ πλέον τοῦ Ὑδροχόου ἀνίσχει. καὶ πρὸς ἑσπέραν (ὕει).

κβ'. Ὁ Ὑδροχόος ὅλος ἀνίσχει, καὶ λὶψ πνέει καὶ (ὕει).

κδ'. Ἄρχεται δύεσθαι ἡ Λύρα. καὶ χειμάζει ὁ βορρᾶς.

κζ'. Ἄστρον λαμπρὸν τὸ ἐν τῷ Λέοντι δύεται.

---

3 *ἰαννουαρίῳ* cod. 10 Dies ϛ' usque ad *ιβ'* omisit excerptor.
11 *ἰδοὶ ἰαννουάριοι* cod. 13 *βορά* cod. 15 *ὑδρηχόω* cod.
19 *ὑδρηχόος* cod. ac sic deinceps 20 et 21 *ὕει* evanid.

κη'. Ἡ Λύρα καθόλου δύεται.

κθ'. Ὁ Δελφὶν δύεται.

Μ η ν ὶ Φ ε β ρ ο υ α ρ ί ῳ.

α'. Κρυπτὸν ἄστρον ἀνίσχει καὶ χειμὼν ἢ εὖρος πνέει.

δ'. Ὁ Δελφὶν ἑσπέρας δύεται.

θ'. Ἄστρον ἕτερον κρυπτὸν ἄρχεται φαίνεσθαι.

ι'. Ἄρχεται ἀνίσχειν ὁ Ἀρκτοῦρος.

ιβ'. Ὁ Ἀρκτοῦρος ἐν τῷ ὄρθρῳ ἀνίσχει καὶ ἀνεμομαχία.

ιγ'. Ὁ Τοξότης ἐν ἑσπέρᾳ δύεται.

ιδ'. Ὁ Κρατὴρ ἀνίσχει ἐν ἑσπέρᾳ.

ιε'. Ὁ Ἥλιος ἐπὶ τοὺς Ἰχθύας, καὶ χειμάζει.

ιζ'. Δύεται ἡ Παρθένος καὶ ταραχὴ τοῦ ἀέρος.

ιη'. Δύεται ὁ Ὀϊστὸς σὺν τῇ Παρθένῳ.

ιθ'. Καθόλου ὁ Ὀϊστὸς δύεται, καὶ πνεῖ ἀπαρκτίας μετὰ νότου.

κ'. Ὅλος ὁ Λέων δύεται. καὶ ἄρχονται οἱ βορραῖ οἱ λεγόμενοι χελιδόνιοι. ἐπί τισι γὰρ τόποις μεθ' ἡμέρας ὀκτὼ φαίνονται χελιδόνες.

κα'. Ὁ Ἀρκτοῦρος φαίνεται καὶ πνεῖ ζέφυρος καὶ ἡ νὺξ συννεφής.

κβ'. Ἵππος δύνει ἑσπέριος. φαίνονται δὲ καὶ τὰ λεγόμενα Ἀλκυόνεια.

(κγ'. Ὁ Ὑδ)ροχόος ὑψοῦται καὶ χειμὼν ἔσται.

(κε'. Ὁ Ἀρκ)τοῦρος ἑσπέριος ἐπιτέλλει.

(κϛ'. Χελ)ιδόνες φαίνονται ἐν πολλοῖς τόποις.

(κζ'. Δύ)εται ἑσπέρας ὁ Ὀϊστός.

Μ η ν ὶ Μ α ρ τ ί ῳ.

(β'.) Τρυγητὴς φαίνεται.

(δ'.) Οἱ Ἰχθύες ἄρχονται ἀνίσχειν.

(ε' ?) Ὁ Στέφανος ὄρθρῳ δύεται.

ζ'. Ἄρχονται τὰ ὄρνεα καθόλου περὶ τὴν θάλασσαν πέτεσθαι, καὶ ἔστι προοίμιον τῆς τοῦ ἀέρος τροπῆς.

---

3 *φευρευαρίῳ* cod. 13 et 14 *ὁ ἰστός* cod. 15 *βορραῖς* ut vid. cod.
19-20 *ἀλκυώνεια* cod. 21-27 Litterae quaedam desunt margine erosa.
21 [...]*ρηχοος* cod. 24 *ὁ ἰστός* cod.

θ'. Ὁ Ἰκτῖνος φαίνεται, καὶ ὄρθρῳ ὁ εἷς Ἰχθὺς ὑπὸ τοῦ Ὀϊστοῦ κρύπτεται.

ι'. Ὁ Ἵππος ὄρθρῳ δύεται, καὶ ὁ Ἰκτῖνος ἀπὸ τῶν ὑψηλῶν φαίνεται.

ιβ'. Ὁ εἷς Ἰχθὺς ἀπὸ τοῦ νότου ἀνίσχει.

ιγ'. Ἡ Ἀργὼ ἀνίσχει, καὶ ζέφυρος ἐν ἑσπέρᾳ.

ιε'. Ὁ Ἵππος παντελῶς δύεται.

ις'. Ὁ Ἥλιος ἐν τῷ Κριῷ.

ιζ'. Ἀνεμομαχία ἐκ τοῦ τὴν Ἀργὼ φαίνεσθαι.

ιη'. Ὁ Ἰκτῖνος ἕωθεν δύεται ἕως τῆς ἰσημερίας.

κα'. Ὁ Κριὸς εἰς πλάτος ἀνίσχει, καὶ ἢ ὄμβρος ἢ νιφετός.

κβ'. Ἰσημερία καὶ ταραχὴ τοῦ ἀέρος.

κγ'. Τοῦ Κριοῦ ἐπὶ πλέον ἀνίσχοντος ὁ ἀὴρ θολώδης.

κδ'. Ὅλος ὁ Ἰκτῖνος δύεται.

κε'. Τῶν δύο Ἰχθύων κατ' ἰσότητα ἰόντων ἢ βορρᾶς ἢ ἀπαρκτίας.

κς'. Ὁ Κριὸς ἕωθεν φαίνεται.

κη'. Ὁ Σκορπίος ἄρχεται δύεσθαι.

κθ'. Ὁ Κριὸς ἀνίσ(χει).

λα'. Τὸ πλέον τοῦ Σκορπίου δύεται.

Μηνὶ Ἀπριλίῳ.

α'. Ὁ Σκορπίος καθόλου δύεται καὶ ὁ Ἥλιος μίαν μοῖραν π(ροστίθησι).

γ'. Ὁ Κριὸς φανερῶς ὑψοῦται.

ς'. Αἱ Ὑάδες ἀνίσχουσι καὶ νότος ὡς ἐπὶ τὸ πλεῖσ(τον).

ια'. Ἄρχονται αἱ Ὑάδες κρύπτεσθαι.

ιδ'. Ἀνώνυμον ἄστρον ἀνίσχει, καὶ ἄνεμοι πνεύσουσι.

ιε'. Τοῦ πλείονος τῶν Ὑάδων κρυπτομένου ζέφυρος πνεῖ.

ιζ'. Ὁ Ἥλιος ἐν τῷ Ταύρῳ.

ιθ'. Καθόλου αἱ Ὑάδες δύονται.

κα'. Ἡ κεφαλὴ τοῦ Ταύρου δύεται καὶ μεγίστη ταραχὴ περὶ ἀέρα.

κγ'. Τὸ πλέον τοῦ Ταύρου δύεται· τροπὴ δὲ τοῦ Ἡλίου.

1-2 ὑπὸ τοῦ ἰστοῦ cod. : ἀπὸ τοῦ νότου corrigendum ex edit.? 10 δύεται] Lege φαίνεται 19 ἀνισ[...] cod. 21 ἀπριλλίῳ cod. 22-23 π[ροστίθησι] evanida suppl. ex edit. 25 πλεισ[...] cod.

κδ'. Μικρόν τι ἡ Λύρα φαίνεται καὶ βροχῆς σημεῖα.

κε'. Ὁ Κύων ἄρχεται κρύπτεσθαι.

κς'. Ἡ Λύρα ἄρχεται δύεσθαι καὶ τροπὴ τοῦ ἀέρος.

κζ'. Τὸ μέσον τοῦ Κυνὸς κρύπτεται καὶ Ὠρίων ἑσπέριος κρύπτεται.

κθ'. Τὸ πλέον τοῦ Κυνὸς κρύπτεται καὶ ταραχὴ ἀνέμων.

Μηνὶ Μαΐῳ.

(α'). Ὁ Κύων δύεται καὶ δρόσος καταφέρεται.

(β'). Αἱ Πλειάδες ἅμα Ἡλίῳ ἀναφέρονται.

(γ'). Οἱ Ἔριφοι καὶ αἱ Ὑάδες ἀνίσχουσιν.

(δ'). Λύρα ἑσπέριος ἐπιτέλλει καὶ ἀλλοιοῦται ὁ ἀήρ.

(ε'). Ὁ Ὀνοκένταυρος ἄρχεται φαίνεσθαι.

(ς'). Αἲξ ἑῴα ἀνατέλλει καὶ σφόδρα ὁ ἀὴρ ἀλλοιοῦται.

(ζ' Αἱ Ὑ)άδες ὄρθρῳ ἀνίσχουσι καὶ ζέφυρος πνεῖ.

(ια'. Αἱ Π)λειάδες ἄρχονται ἀνίσχειν.

(ιβ' Τὸ π)λέον αἱ Πλειάδες ἀνίσχουσιν.

(ιγ' Αἱ) Ὑάδες ὑψούμεναι καθαρῶς φαίνονται.

(ιε' Ὁ) Καρκίνος ἀνίσχει.

ις'. Ἀρχὴ τοῦ θέρους.

(ιζ') Ὑψοῦνται αἱ Πλειάδες.

ιη'. Ὁ Ἥλιος ἐν τοῖς Διδύμοις.

ιθ'. Αἱ Ὑάδες ἑῷαι φαίνονται καὶ ἀλλοιοῦται ὁ ἀήρ.

κ'. Ὁ Ἀρκτοῦρος ἄρχεται δύεσθαι.

κα'. Ὁ Τοξότης δύεται.

κβ'. Τὸ πλέον τοῦ Ἀρκτούρου δύεται.

κγ'. Ἄρχονται ἀνίσχειν οἱ Δίδυμοι.

κδ'. Ὅλος ὁ Ἀρκτοῦρος δύεται.

κς'. Δύεται ὁ Κριός.

κζ'. Ὁ Ἔριφος ἕωθεν ἀνίσχει. καὶ ὑψοῦται ὁ Ἥλιος.

κη'. Οἱ Δίδυμοι καθαρῶς φαίνονται.

λ'. Ὁ Ἔριφος ἀνίσχει.

Μηνὶ Ἰουνίῳ.

α'. Αἱ Πλειάδες ἀνατέλλουσι, καὶ νότος πνεῖ.

β'. Ἀετὸς ἑσπέριος ἐπιτέλλει.

8-20 numerus marginis et 16-18 primae litterae abscissa sunt. 12 Lege ὅλος κένταυρος 16 Leg. τῶν Πλειάδων? cf. v. 25 et p. 172, 26.

ε'. Ὁ Ἀετὸς ὅλος ἀνίσχει.
ς'. Ἀρκτοῦρος ἑῷος δύνει.
ζ'. Αἱ Πλειάδες ὑψοῦνται.
η'. Ὁ Ἀετὸς καθαρῶς φαίνεται.
θ'. Ὁ Δελφὶν ἄρχεται ἀνίσχειν ἑσπέριος.
ι'. Κυρίως ἀρχὴ θέρους.
ιγ'. Ἄρχεται ὀλίγον τι ἀνίσχειν ὁ Ὠρίων.
ιδ'. Τὸ πλέον τοῦ Δελφῖνος ἀνίσχει.
ιε'. Ὅλος ὁ Δελφὶν ἀνίσχει.
ιη'. Ὁ Ἥλιος ἐν τῷ Καρκίνῳ.
ιθ'. Ὁ ὦμος τοῦ Ὠρίωνος ἄρχεται ἀνίσχειν.

. . . .

<Μηνὶ Ὀκτωβρίῳ>.

. . . .

κθ'. Ὁ Ἀρκτοῦρος δύεται.
λ'. Ἄστρον ἀνώνυμον δύεται.

Μηνὶ Νοεμβρίῳ.

α'. Ἄρχεται ὁ Ὠρίων ἰέναι εἰς τὸ δύνειν, καὶ τρ(οπὴ) τοῦ ἀέρος ἐπὶ τὸ ψυχρόν.
γ'. Στέφανος ἑῷος ἐπιτέλλει καὶ ἔστι σφοδρὰ με...
ε'. Ἡ Λύρα σὺν τῷ Ἡλίῳ ἀνίσχει.
ς'. Συννέφεια ἐκ τῆς ἐπιτολῆς τῆς Λύρας.
ζ'. Ἄρχεται τὸ ἄκρον τῶν Πλειάδων δύεσθαι.
η'. Στυγνὸς ἀὴρ ἐκ τῆς δύσεως τῶν Πλειάδων.
θ'. Ἡ Λύρα ἀνίσχει, καὶ τροπὴ χειμερινή.
ια'. Ἀρχὴ τοῦ χειμῶνος.
ιβ'. Τὸ πλέον τῶν Πλειάδων δύεται.
ιγ'. Λύρα ἑῷος ἐπιτέλλει.
ιε'. Αἱ Πλειάδες καὶ ὁ Ὠρίων καθόλου δύονται.
ιζ'. Ἡ Λύρα ὅλη φαίνεται καὶ χειμὼν ἔσται.
ιη'. Ὁ Ἥλιος ἐν τῷ Τοξότῃ καὶ ταραχὴ τοῦ ἀέρος.
ιθ'. Τὸ κέρας τοῦ Ταύρου δύεται.
κ'. Ἡ Λύρα ἀναβιβάζεται καὶ ἀηδὴς χειμών.

11 Textus abrumpitur in imo folio 153v. Folia duo desunt ante f. 154 16 τροπὴ] ὀπὴ evanid. 20 συνέφεια cod. 21 τῆς πλειάδος cod., corr. 31 Ταύρου corr. : signum Librae cod. 32 ἀειδὴς cod.

κα'. Ὑάδες ἑῷαι δύνουσι καὶ ὑετὸς ψυχρός.
κβ'. Ὁ Λαγωὸς ὄρθρῳ δύεται, καὶ ψῦχος ὁμοίως.
κγ'. Τὰ κέρατα τοῦ Ταύρου δύονται.
κδ'. Ὁ Κύων δύεται καὶ δρόσος πίπτει ψυχρά.
κε'. Ἐπὶ τῆς δευτέρας μοίρας τοῦ Τοξότου ὁ Ἥλιος.
κς'. Τὸ μέσον τοῦ Κυνὸς δύεται.
(κη'. Τ)ὸ πλέον τοῦ Κυνὸς δύεται καὶ νεφελώδης ὁ ἀήρ.
(κθ'. Ὁ) Ὠρίων ἑσπέριος ἄρχεται ἐπιτέλλειν.
(λ'. Ὁ) ἀστὴρ τῆς Ἀνδρομέδας ὅλος δύεται.

Μηνὶ Δεκεμβρίῳ.

(α'). Ὁ Ἵππος καὶ ἡ Αἲξ ὁμοῦ δύνουσι ὄρθρῳ.
(β'). Ὁ Κύων καθόλου ὄρθρῳ δύεται.
(δ'). Ὁ Τοξότης ἄρχεται ἀνίσχειν, καὶ βορρᾶς πνεῖ.
ε'. Ταύτῃ τῇ νυκτὶ φαίνεται ἄστρον ἀσυνῆθες.
ς'. Τοῦ Τοξότου τὸ μέσον ἀνίσχει.
ζ'. Ἐκ τοῦ Ἀρκτούρου λὶψ πνεύσει.
η'. Ὁ Σκορπίος καθαρῶς φαίνεται.
ι'. Ἔριφοι ἑῷοι δύνουσι, καὶ βορρᾶς πολυειδής.
ια'. Ὁ Τοξότης ὅλος φαίνεται.
ιγ'. Δύεται ἡ Αἲξ καθόλου ἑῷος καὶ ταραχώδης ὁ ἀήρ.
ιε'. Ἡ Ἀργὼ ἄρχεται φαίνεσθαι.
ιζ'. Ὁ Ἥλιος ἐπὶ τὸν Αἰγοκέρωτα.
ιθ'. Καθόλου ἡ Αἲξ κρύπτεται.
κ'. Ὁ Ἀετὸς καὶ ὁ Αἰγόκερως ἅμα ἀνίσχουσιν.
κβ'. Ὁ Αἰγόκερως ἄρχεται φαίνεσθαι καὶ νότος πνεῖ.
κγ'. Τροπαὶ χειμεριναί.
κδ'. Ὁ Κηφεὺς δύεται.
κε'. Τὸ πλέον τοῦ Αἰγοκέρωτος ἀνίσχει.
κζ'. Ὅλος ὁ Αἰγόκερως ἀνίσχει.
κη'. Ὁ Ἥλιος ἀποστρέφεται ταύτῃ τῇ ἡμέρᾳ καὶ ὑφειλεῖ ἡ νύξ.
κθ'. Ὁ Αἰγόκερως καθαρῶς φαίνεται.
λ'. Ὁ Δελφὶν ἀνίσχει.
λα'. Ταραχὴ ἀνέμων ἐκ τῆς τοῦ Δελφῖνος ἐπιτολῆς.

3 κέρατα scripsi : κέντρα cod. Ταύρου- signum Librae 7 κη' T desunt 8 κθ' ὁ desunt 9 λ' ὁ desunt 11-13 numeri abscissi 30 ὑφείλη cod.

F. 163v. *Περὶ τῶν ἐν τῷ ἀέρι σημείων τοῦ τε χειμῶνος καὶ τῶν ἀνέμων*(1).

Δεῖ γινώσκειν ὅτι τὰ σημεῖα τῶν χειμόνων καὶ τῶν ἀνέμων οὐ κατὰ πᾶσαν ἡμέραν ἀποτελοῦνται, ἀλλ' ὅσα μὲν περὶ τὴν τρίτην τῆς σελήνης ἢ τὴν τετάρτην σημεῖα γίνονται, ταῦτα μέχρι τῆς διχοτομίας ἤγουν τῆς ἑβδόμης τῆς σελήνης προσδοκᾶν χρή. ὅσα δὲ γίνονται διχοτόμου τῆς σελήνης οὔσης, ταῦτα δέον ἐκδέχεσθαι μέχρι τῆς πέντε καὶ δεκάτης ἡμέρας αὐτῆς, ἤγουν τῆς ἀποχύσεως. ὅσα δὲ γίνονται πανσελήνου οὔσης ἤγουν τεσσαρεσκαιδεκαταίας, ταῦτα δεῖ ἀναμένειν ὀκτωκαίδεκα ἢ κβ' ἡμερῶν γινομένης. ὅσα δὲ γίνονται ληγούσης αὐτῆς, ταῦτα μέχρι τριῶν ἢ τεσσάρων δεῖ ἐκδέχεσθαι.

Περὶ ἡλιακῶν σημείων. Αἱ τοῦ ἡλίου πρὸς τὸν ἀέρα διαφοραὶ κυριώτεραι τῶν τῆς σελήνης εἰσί · δυναστεύων γὰρ ἡμέρας σαφέστερα δείκνυσι τὰ σημεῖα. καὶ εἰ μὴ μεγάλη καὶ ἰσχυρὰ τοῦ ἀέρος εἴη ἡ μεταβολή, οὐκ ἂν κρατηθείη · τὰς γὰρ ἐλαφρὰς διαστέλλει καὶ διασκίδνησι. πολλὴν οὖν ἔχων ἰσχὺν πρὸς τὸ διαλύειν ταῖς ἀκτῖσι τὰ ὑποπί(πτοντα) παχέα, νικώμενος ὑπ' αὐτῶν, μείζω προαγγ(έλλει) τὸν χειμῶνα. ὅταν οὖν ποικίλος καὶ κα(τά)στικτος φανῇ ὁ τοῦ ἡλίου κύκλος νεωστὶ ἀνα(τέ)λλοντος, χειμῶνα χρὴ προσδοκᾶν. διὰ (δὲ) τὴν τοῦ ἀέρος παχυμέρειαν καὶ ὑγρότητα ἐμπ(ί)πτουσα ἡ ἀκτὶς τοιοῦτον ὁρᾶσθαι ποιεῖ ποικ(ίλον) καὶ κατάστικτον τὸν κύκλον, ὥσπερ καὶ ἐρυθρὸς φαίνεται. τὸ δὲ ὅμοιον συμβαίνει ἐπὶ τῆς ἴριδος. κἀκεῖ γὰρ εἰς ὑγρότητα ἀέρος καὶ παχυμέρειαν ἐμπίπτων ὁ ἥλιος ἀποτελεῖ τὴν ἶριν.

Ἐὰν μέλλων δύνειν ὁ ἥλιος καθαρὸς καὶ ἀνεπιθόλωτος ἐπὶ τὴν δύσιν χωρήσῃ, εὐδίαν τῇ ἑξῆς ἡμέρᾳ σημαίνει.

Αἱ τοῦ ἡλίου ποικιλότητες οὐκ εἰσὶν αὐτοῦ ἴδιαι, φαντασίαι δέ εἰσι τῆς ὄψεως κατὰ ἐπιπρόσθεσιν ζοφεροῦ ἀέρος. οὐ γὰρ τὸ μέσον ὁρᾶται, ἀλλ' ἡ κύκλου ὄψις λαμπρὰ οὖσα δοκεῖ περιφεύγειν εἰς τὸ ἐκλιπὲς τῇ τῆς ποικιλότητος ἐμφάσει. ὃν γὰρ τρόπον οἱ

1-12 Similia ed. Heeger op. cit. [p. 180] p. 71. Formam aliam horum praesagiorum edidimus *Cat.*, VIII, 1, p. 139. Cf. etiam *Cat.*, VII, cod. Berolin. 26, ff. 157 ss. et Wessely, *Bruchstücke über Wetterzeichen* (Sitzungsb. Akak. Wien, CXLII) 1900. 9 *τεσσαρεκαιδεκαταίας* cod. 11-12 Lege *τρίτης ἢ τετάρτης* 15 *μεγάλα* cod. 17 *πολὴν* cod. 18 *ὑποπι[.....]* cod. 19 *προαγγ[...]* cod. 20 *κα[..]στικτος* cod. *ἀνα[..]λλοντος* cod. 21 *δὲ* evanid. cod. 22 *ἐμπ[.]πτουσα* cod. 22-23 *ποικ[.....]* cod. 23 *ὥσπερ*] Leg. *ὥστε* [Delatte] 27 *ἡμέρας* cod.

ζωγράφοι ἀντρώδεις τόπους γράφοντες τῷ φωτὶ τραχύνουσι τὴν ὄψιν, ὥστε τῇ φύσει τοῦ μὲν λαμπροῦ προβάλλοντος ἔξω καὶ διωθοῦντος τὴν φαντασίαν, τοῦ δὲ μέλανος ὑποσκιάζοντος † μαθύνεσθαι δοκεῖν, (οὕτω) καὶ περὶ τὸν ἥλιον τὸ μὴ φαινόμενον τῇ ὄψει κατὰ (τὴν) ἔμφραξιν τοῦ ἀέρος, οἱονεὶ ἐκκοπὴ τοῦ μέσου (σ)απροῦ διὰ τὴν σκιὰν ὑποφαίνεται. ποικιλο(πο)ιεῖ δὲ τὴν ἀντίφραξιν ὁ ἀὴρ πιλωθείς τε καὶ παχὺς (καὶ ζ)οφώδης ὤν. διὸ καὶ χειμέριον τὸ σημεῖόν (ἐστι). τοῦ ἡλίου φῶς, ὅτε καθαρόν ἐστιν οὐ συγχωρεῖ ἀντωπεῖν τινὶ πρὸς τὰς ἀκτῖνας. ὅτε οὖν ἀπὸ (ἀ)κρασίας ἀέρος ἐξασθενεῖ, τότε δυνατὸν αὐτῷ ἐνατενίζειν. δεῖ οὖν περισκοπεῖν τὸν ἥλιον, εἰ αἱ αὐγαὶ αὐτοῦ ὑπείκουσι τοῖς ὀφθαλμοῖς · ἐκ τούτου γὰρ δῆλον ὅτι ἀκρασία ἐστὶ, καὶ ὑπάρχει σύμβολον χειμῶνος.

Ἐὰν ἀνατέλλοντος τοῦ ἡλίου ἢ δύνοντος, αἱ ἀκτῖνες ὥσπερ ἠθροισμέναι βλέπωνται μὴ καθαρῶς κεχυμέναι ἐπὶ τὸν ἀέρα, ἢ εἴπερ ἀνατέλλων ἢ δυόμενος ὑπὸ νεφελῶν θλίβοιτο, χειμῶνας προδηλοῖ καὶ βροχῶν ἐπιφοράς.

Ἐὰν ἀμφοτέροις τοῖς καταστήμασιν, ἤγουν τῷ μέλανι καὶ τῷ πυρρῷ ἅμα κατὰ ταὐτὸν ἐμπεριέχηται ὁ ἥλιος, καὶ τὸ μὲν αὐτοῦ μέλαν φαίνηται, τὸ δὲ ξανθὸν ἐκ ποικιλίας, τότε ἀμφότερα προσδόκα καὶ ὑετὸν ἐσόμενον καὶ ἄνεμον.

Ὅταν αἱ τοῦ ἡλίου ἀκτῖνες σχιζόμεναι ἐπὶ τὸν βορρᾶν καὶ ἐπὶ τὸν νότον βάλλωσι, τὸ δὲ μέσον ἐστὶ φωτεινόν, ἢ ὑετὸν σημαίνει ἢ ἄνεμον. αἱ γὰρ (ἀκτῖνες) φαίνονται σχιζόμεναι, οὐ τοῦ ἡλίου τοῦτο πάσχ(οντος), ἀλλὰ τῆς ἡμετέρας ὄψεως · ὥσπερ γὰρ εἰ τὸ βλέφαρον κατάγοντες ἢ παραθλίβον(τες) τῷ λύχνῳ προσβάλλωμεν οὐ φαίνεται ἡμ(ῖν) συνεχὲς τὸ φῶς, ἀλλὰ πλάγιαι καὶ σποράδες αἱ αὐγαί, οὕτως ὅταν ἀχλὺς ἢ νέφωσις ἀνώμαλος πρὸ τοῦ ἡλίου στᾶσα περισχίσῃ καὶ θλίψῃ τὴν ὄψιν εἰς λοξὰς ἀκτῖνας καὶ ῥαβδοειδεῖς, ὃ πάσχομεν αὐτοὶ τῇ αἰσθήσει, τοῦτο περὶ τὸν ἥλιον εἶναι δοκοῦμεν. τοῦ ἡλίου ἀνατέλλοντος, ὅταν ἀπὸ τοῦ δίσκου προπεμφθεῖσαι αἱ ἀκτῖνες πρὶν τελέως ἡμέραν φανῆναι ὥσπερ ἐσκιασμένον καὶ οὐ πάνυ φαιδρὸν φαίνωσιν, ὕδατος ἐπιφορὰν ἢ ἀνέμου γίνωσκε. ἀλλ' εἰ μὲν αἱ ἀκτῖνες ἐκεῖναι πανταχοῦ ζοφώ-

3 *μαθύνεσθαι* non capio : *μακρύνεσθαι* ? Delatte 4 *οὕτω* evanid. cod. 5 *τὴν* evanid. cod. Leg. *ἀντίφραξιν* ? *[.]απροῦ* cod. 6 *ποικιλο[..]ιεῖ* cod. 7 *τε* corr. : *δὲ* cod. *[....]οφώδης* cod. 8 *ἐστὶ* evanid. cod 9 *[.]κρασίας* cod. 18 *ἐμπεριέχεται* cod. 23 *ἀκτῖνες* evanid. 24 *πασχ[....]* cod. *εἰ* evan. cod. 27 *παραθλιβ[...]* cod. 26 *ἡμ[..]* cod.

δεις φαίνονται, μᾶλλον ἐπὶ τὸ πλεῖστον ὕδατος σημασίαν ἔχουσιν. εἰ δὲ ὀλίγος γνόφος καὶ ὀλίγη ἀμαύρωσις περίκειται τὰς ἀκτῖνας, ἀνέμου σημεῖόν ἐστιν. εἰ ὁ ἥλιος φανῇ αἱματώδης καὶ ἀνθρακώδης καὶ αἱ ἀκτῖνες αὐτοῦ ἀμαυραί, νοητεόν ὅτι ἐκ τῆς παχύτητος τοῦ ἀέρος οὕτω φαίνεται· καὶ εἰ μὴ διαχεθῇ ὑπὸ τῆς ἀκτῖνος (ὁ) πεπυκνωμένος ἀὴρ τῷ πλεονασμῷ τοῦ ὑγροῦ, χειμῶνα (α)ὔξει τοῖς χωρίοις περὶ ἃ συναθροίζεται.

(...) καὶ ὑπόχλωρος ἀνατέλλων ὁ ἥλιος ἢ μετὰ συν(νε)φείας δύνων, ἢ ἔχων ἐξ ἀμφοτέρων τῶν μερῶν παρήλια νέφη καὶ ἀκτῖνας, χειμόνων καὶ ὑετῶν δηλωτικὸς ὑπάρχει.

Ἀνατέλλοντος τοῦ ἡλίου καὶ περὶ τὰς ἀκτῖνας σκοτεινὸν νέφος ἔχοντος, ὄμβρον χρὴ προσδοκᾶν. ὁ ἥλιος ποικίλον τὸν κύκλον ἔχων ἢ ὑπόπυρρον, ἢ ἀκτῖνας ἐρυθρὰς ἀποπέμπων, ἢ τὰ λεγόμενα παρήλια νέφη ἐξ ἑνὸς μέρους ἔχων, εἴ ἐστι τὸ σχῆμα τῶν νεφῶν ὑπόπυρρον καὶ ὥσπερ ἀκτῖνας μικρὰς αὐτὸς ἀποπέμπει, ἀνέμων ἐστὶ δηλωτικός. ὁ ἥλιος καθαρὸς καὶ ἀνεπισκότητος, εὐσταθής τε καὶ ἀνέφελος ἀνατέλλων, εὐδίας ἐστὶ δηλωτικός. ἀνατέλλων ὁ ἥλιος, ἐὰν ἔχῃ ὀλίγον νέφος προανίσχον, ὄμβρον σημαίνει. ἀνατέλλων ὁ ἥλιος, εἰ μὲν καθαρὰν χροιὰν ἔχει, εὐδίαν σημαίνει· εἰ δὲ δοκεῖ πυρρὸς εἶναι, πνεῦμα καυσῶδες προσημαίνει. ἀνατέλλοντος τοῦ ἡλίου, ἐὰν νεφέλαι λεπταὶ περὶ τὸν ἀέρα μετεωρίζωνται, ὑετὸν γενέσθαι σημαίνει. ἐὰν ἀκτῖνες προανατέλλωσι τοῦ ἡλίου πλαγίαι, ἀνεμοὺς καὶ ταραχὰς σημαίνει.

Ἀνατέλλοντος τοῦ ἡλίου, ἐὰν μὲν πολλαὶ (νεφέλαι) προάγωσιν εἰς μεσημβρίαν, χειμῶνα σημαίνει, ἔτι δὲ καὶ εἰ ἐπέχονται αἱ ἀκτῖνες ὑπὸ (πολλῶν) νεφελῶν, χειμῶνα ὁμοίως σημαίνει. ἐὰν δὲ (τῶν) ἀκτίνων αἱ μὲν πρὸς βορρᾶν, αἱ δὲ πρὸς νό(τον) ἀνατείνωνται, ὅσαι δὲ περὶ τὸν ἥλιον μι(κραὶ) φαίνωνται, χρὴ ὕδωρ καὶ ἄνεμον προσδοκᾶν.

Ἀνατέλλων ὁ ἥλιος ἐκ τῶν νεφελῶν ὥσπερ ἐξ ὕδατος, καὶ μετὰ τὸ ἀνατεῖλαι ὡς φλογώδ(ης) φαινόμενος, χειμῶνα σημαίνει. ἔχων δὲ ἀκτίνας ὥσπερ νεφελώδεις, χειμῶνα καὶ ὑετὸν σημαίνει.

---

5 ὁ evan. cod. 6 [.]υξει cod. 8 Litterae tres evanidae συν[..]φειας cod. 11 cf. Heeger op. cit., p. 67, III 12 ποικίλος cod. 14-15 ὑπόπυρον cod. 17 ἀνέφαλος cod. 19 δόκῃ cod. 21 μετεωρίζονται cod. 24-25 cf. Heeger, l. c., p. 66, I, 9 24 νεφέλαι evanid. cod. 26 πολλῶν evanid. cod. τῶν evanid. cod. 27 νο[...] cod. ἀνατείνονται cod. 28 μι[....] cod. φαίνονται cod. 30 cf. Heeger, op.cit., p. 66, I, 6 31 φλογώδ [..] cod.

Ἀνατέλλων ὁ ἥλιος ἐρυθρὸς καὶ μελαινόμενος ὄμβρον ἔσεσθαι δηλοῖ.

Καταδυόμενος ὁ ἥλιος ἐὰν κατὰ τὸ ἀριστερὸν μέρος μέλανα ἔχῃ νέφη πλησίον, ὄμβρον χρὴ προσδοκᾶν.

Δυόμενος ὁ ἥλιος οἷον πηλώδης ὄμβρων καὶ ἀνέμων ἐστὶ μηνυτής.

Δύνων ὁ ἥλιος βορρᾶ πνέοντος, ἐὰν ἐπισπάσηται νεφέλας ἐκ μὲν τοῦ μέρους τοῦ βορρᾶ ἐρυθράς, ἐκ δὲ τοῦ νότου μελαίνας, εὐδίαν σημαίνει. πάλιν δὲ νότου πνέοντος δύνων, ἐὰν ἐπισπάσηται ἀπὸ τοῦ νότου νεφέλας ἐρυθράς, μελαίνας δὲ ἀπὸ βορρᾶ, εὐδίαν σημαίνει. εἰ δὲ τὸ ἐναντίον τούτων γένηται, χειμῶνα σημαίνει.

(Εἰς) δύσιν ὁ ἥλιος νέφη σχὼν χειμέριον νύκτα σημαίνει.

(Ἥλιος) ὠχρὸς δύνων εὐδίαν σημαίνει.

Ὁ ἥλιος μέσον (νεφελῶν) δύνων χειμῶνα σημαίνει. ὅταν ἅλως (πε)ρὶ τὸν ἥλιον γένηται, χειμῶνα σημαίνει. (εἰ δὲ) ἐγγυτέρω εἴη αὐτοῦ ἡ ἅλως καὶ μᾶλλον μέλαινα, σφοδρότερος ὁ χειμών. εἰ δὲ καὶ διπλὴ εἴη, πολὺ χαλεπώτερος ἔσται.

F. 157v. *Περὶ παρηλίων.*

Παρήλιαι καλοῦνται νεφέλαι αἱ τῷ ἡλίῳ παρεοικυῖαι οὐ μόνον κατὰ τὴν χροιὰν ἀλλὰ καὶ κατὰ τὸ κυκλοτερὲς αὐτοῦ τοῦ δίσκου. πλησίον δὲ τοῦ ἡλίου εἰσὶν αἱ νεφέλαι αὗται καὶ ἐξ αὐτοῦ φωτιζόμεναι τὴν χροιὰν αὐτοῦ ἀπομιμοῦνται. εἰσὶ δὲ καὶ κυκλοτερεῖς τὸ σχῆμα, διὸ φερωνύμως ἐκλήθησαν παρήλια· παρεοίκασι γὰρ τῷ ἡλίῳ ἐπεὶ πεπιλημένον τὸ νέφος καὶ τὰς ἀκτῖνας τοῦ ἡλίου ὑποδεχόμενον διὰ τῆς ἐλλάμψεως ἡλιοειδῆ παρέχει τὴν φαντασίαν καὶ οἱονεὶ ὡς φλογοειδῆ, εἰς ἓν συνηγμένον καὶ μεταξὺ μηδὲν καταλιπὸν διάστημα παρεπόμενον τῇ τοῦ ἡλίου περιφορᾷ. περὶ τὴν ἀνατολὴν ἢ τὴν δύσιν ὄντος τοῦ ἡλίου, ἐὰν τὰ λεγόμενα παρήλια νέφη θεωρηθῇ περὶ τὰ βόρεια μέρη ἐρυθρά, βορρᾶν σημαίνει· ὅταν

---

1 cf. Heeger, p. 67, II, 3 et supra p.162, 28. 5 ss. cf. Ibid. II, 9-10 8 et 10 μέλανας cod. 12 εἰς evanid. cod. 13 ἥλιος evanid. cod. 14 νεφελῶν evan. cod. 15 cf. Heeger, op. cit., I, 13. [..]ρι cod. εἰ δὲ evanid. cod. 16 αὐτοῦ scripsi : τοῦ cod. 17 ss. De parheliorum praesagiis, cf. Heeger, op. cit. p. 167, II, 11 ; *Cat.*, VII, cod. Berol. 26, f. 162v [= Paris. 60, f. 160v) ; *Cat.*, III, Mediol. 23, f. 259v. 19 Leg. προσεοικυῖαι? sed cf. v. 23

δὲ περὶ τὰ νότια, νότον. ὅταν δὲ ἐξ ἀμφοτέρων τῶ(ν μερῶν) καὶ μέσον τὸν ἥλιον περιέχωσιν, ὄμβρον (σημαίνουσι).

Παρήλιον νέφος τοῦ μὲν βορρᾶ πνέοντος εὐδ(ίαν) σημαίνει, νότου δέ, ἀέρα γενέσθαι δηλ(οῖ).

Παρήλια ἐπὶ βροχῆς τὸ μὲν ἔνθεν τοῦ ἡλίου, (τὸ δὲ) ἔνθεν, χειμῶνα σημαίνει. ἐὰν δὲ ἀνέμου πν(έοντος) παρήλια παρ' ἑκάτερον μέρος τοῦ ἡλίου φα(νῇ), σφοδρότερον χειμῶνα σημαίνει. παρήλια (ἐξ ἀμ)φοτέρων τῶν μερῶν τοῦ ἡλίου ἑσπέρια φανέντα, ἰσχυρότερα πνεύματα προσημαίνει.

Περὶ τὸ παρήλιον ἐὰν ἅλως γένηται, χειμῶνα σημαίνει.

Οἱ καλούμενοι ἀνθήλιοι εἰ συμπεριτρέχουσι τῇ τοῦ ἡλίου φορᾷ, συμπτώματά τινα ἀέρια σημαίνει.

Δεῖ εἰδέναι ὅτι τὰ ἑσπέρια σημεῖα τῶν ἑωθινῶν εἰσὶ τρανότερα· ὅπου μὲν γὰρ λέλειπται ὁ ἀὴρ μεθ' ἡμέραν πυρωθείς, εὐκατανόητος, ὅπου δὲ παχὺς καὶ θολερὸς νύκτωρ πυκνωθείς, εἰκότως εἰσὶ ταραχώδη τὰ σημεῖα καὶ ἧττον σαφῆ.

Χρὴ δὲ γινώσκειν ὡς τὰ ἐν μετεώρῳ συνιστάμενα τὰ μὲν κατ' ἔμφασιν γίνεται ὡς ἶρις καὶ ἅλως, τὰ δὲ κατὰ ὑπόστασιν, ὡς κομῆται καὶ πωγωνίαι καὶ διᾴττοντες καὶ δοκίδες, τὰ δὲ μικτά, ὡς τὰ παρήλια.

F. 158ᵛ. *Περὶ τῶν τῆς σελήνης σημείων.*

(Εἰ) ἔστι τριταία ἢ καὶ τεταρταία ἡ σελήνη καὶ ἔχει τὸ φῶς (λαμ)πρὸν καὶ διαυγές, εὐδίας ἐστὶ σημαντική. (ἐὰν) δὲ πυρρὸν καὶ ξανθὸν ἔχῃ τὸ φῶς, ἀνέμου κίνησιν δηλοῖ. (ἐὰ)ν δὲ μέλαν καὶ ζοφῶδες ἔχῃ τὸ φῶς, χειμῶνα καὶ ὑετὸν σημαίνει. (ἐστὶ) δὲ τὸ σεληνιακὸν μὲν αὐτὸ φῶς διόλου ἀπαθὲς καὶ διὰ παντὸς λαμπρὸν καθ' ἑαυτό· ἄτοπον γὰρ πάθη τοῖς ἀστράσι διδόναι. ὁ δὲ περικείμενος ἡμῖν οὗτος ἀὴρ πρὸς πάντα συμπάθειαν ἔχων, τοιοῦτον

1 *τῶ*[.......] cod. 2 *σημαίνουσι* evanid. 3 *τοῦ μὲν* corr. Delatte: *φαμὲν* ut vid. cod. 4 *δηλ*[..] cod. 5 *τὸ δὲ* evanidum 6 *πν*[.....] cod. 7 *φα*[..] cod. 8 [...]*φοτέρων* cod. *ἑσπέρα* cod., corr., cf. v. 13. 10 cf. Heeger, loc. cit. II, 13 *τὸ* corr.: *τὸν* cod. 14 Post *εὐκατανόητος* lacunam sign. Delatte 18 *κατ' ὑπόστασιν* cod. *κομῖται* cod. 21 ss. Cf. Heeger, loc. cit. p. 68, VI; *Cat. astr.* VIII, I, p. 139; *Geoponica*, I, 2, 1 et supra cod. 34, f. 92, p. 156 22 *εἰ* evanid. cod. 23 [..]*μπρὸν* cod. *ἐὰν* evanid. 24 [..]*ν* cod. 25 *ἐστὶ* evanid. cod. 28 *ἡμῖν* corr. Delatte: *ἡμᾶς* cod.

αὐτῆς δεικνύει τὸ φῶς· ὅτε γὰρ μέλλουσι πνεῖν ξηροὶ ἄνεμοι, τῆς ξηρότητος τῆς γενησομένης ἀντιλαμβανόμενος ὁ ἀὴρ πυρρὸς γίνεται καὶ ξανθοῦται· καυστικὸν γὰρ ἀεὶ τὸ ξηρὸν καὶ πυρῶδες· καὶ τοιοῦτος ὁ ἀὴρ γινόμενος σφάλλεσθαι ἡμῶν τὴν ὄψιν ποιεῖ, ὥστε οὕτως ὁρᾶν τὸ τῆς σελήνης φῶς, καὶ ἔστι σημεῖον ξηρῶν ἀνέμων. ὅτε δὲ ὑγροὶ ἄνεμοι μέλλουσι πνεῖν, πάλιν τῆς ἐσομένης ὑγρότητος ἀντιλαμβανόμενος ὁ ἀὴρ καὶ παχυμερὴς ἐκ τῆς ὑγρότητος γινόμενος, ζοφωδέστερός ἐστι καὶ τοιοῦτον ἡμῖν δείκνυσι μέλαν καὶ ζοφῶδες τὸ τῆς σελήνης φῶς, καθάπερ καὶ τὰς μελαίνας τῶν νεφελῶν καὶ ζοφώδεις ὑετῶν αἰτίας εἶναί φαμεν, τὰς δὲ καθαρὰς ἀνέμων.

Σελήνης ὁ κύκλος ἐρυθρὸς φανεὶς καὶ πυρώδης χειμῶνα μείζονα δηλοῖ· εἰ τάχα καὶ πυρώδης μόνον ἐστίν, οὐκ εἰς μακρὰν εὐδίαν σημαίνει, δείλης δὲ (ταραχὴν) τοῦ ἀέρος, εἰ καὶ πρὸς ὀλίγον ἐστὶν ὅτε.

Περὶ ο(ὐρανοῦ). *Ἐὰν ὁ οὐρανὸς ὅλος ἐρυθρὸς γένηται ὥσπερ αἷ(μα), αὐχμὸς γενήσεται τῇ γῇ καὶ ἐν τῷ δευτέρῳ καὶ (τρίτῳ) οἱ καρποὶ ἀπολοῦνται. εἰ ὀψὲ πυρώ(δης) ὁ οὐρανός, εὐδία ἔσται, εἰ δὲ ὀψὲ στυγνάσει, χει(μών. ἐ)ὰν ἐν τῷ οὐρανῷ φλὸξ ἀνημμένη φαίνηται πυρρὰν ἔχουσα θέσιν, ἐν ᾧ τόπῳ φαίνηται, πόλεμος ἔσται.*

Περὶ ἀστέρων διᾳττόντων. *Ὁ αἰθὴρ σφόδρα ἐστὶ διάπυρος· ὅθεν καὶ αἰθὴρ ὠνομάσθη παρὰ τὸ αἴθω, τὸ καίω. καὶ ὅτε ξηρὰς ἀναθυμιάσεις δέχεται ἀπὸ τῆς γῆς, ξηρὸς ὢν καὶ αὐτὸς καὶ πυρώδης, πυκνούμενος ἀποπέμπει τινὰς ὥσπερ σπινθῆρας, ταύτας ἃς ὑπονοοῦμεν εἶναι ἀστέρων διαδρομάς. οὐδὲ γὰρ ἀστέρες κινοῦνται, ἀλλὰ στιλβηδόνας ἀποβάλλει ὁ αἰθὴρ πυρώδεις. διὸ καὶ ὀλίγον διαδραμοῦσαι αἱ στιλβηδόνες παύονται ὥσπερ καὶ οἱ σπινθῆρες· ὥστε τοῦ αἰθέρος ἐστὶ πύκνωσις. καὶ ἐν νυκτὶ δέ, ὅταν μεταβάσεις ποιοῦνται ἀστέρες, ἀΐσσουσι πυκνῶς. ὅθεν δὲ αὐτοὶ οἱ ὁλκοὶ λαμπροὶ φαίνονται, προσδοκᾶν χρὴ καὶ τὸ πνεῦμα ἐρχόμενον, οἷον, ἐὰν ἀπὸ (τῶν) βορείων τὰς ὁρμὰς ποιῶνται,*

9 *καθάγε* cod.: corr. Delatte 10 *νεφῶν* cod., corr. 13 *πυρρώδη* cod. *μικρὰν* cod. 14 *ταραχήν* evanidum 16 ss. cf. Heeger, op. cit. p. 68, VII 16 *ο*[......] cod. 17 *αἷ* [...] cod. *γένηται* cod. 17-18 *καὶ* [...] cod. *πυρρω*[...] cod. 19 *χει*[....]*αν* cod. 22 ss. Invenitur quoque in cod. Germanico 26, f. 183, ex quo Parisinus 60, f. 204. 25 cf. Diels, *Doxogr.*, p. 367, 9 ss. 31 Leg. *οὗτοι οἱ*? 32 *τῶν* evanidum

βορρᾶς πνεύσει. (καὶ ὅταν) ἀπὸ τῶν νοτίων, νότος. εἰ δὲ ἐκ διαφόρων (μερῶν) οἱ διᾴττοντες κινῶνται, διαφόρων ἀνέμων (ἐπι)φορὰν δηλοῦσιν. ὅταν μηδαμοῦ νεφέλης (οὔ)σης τὸ τῶν ἄστρων φῶς ἀμαυρὸν ᾖ, μεταβολὴν ὑφορῶμεν εἰς χειμῶνα. ἀστέρες ἀφιέναι δοκοῦντες μαρμαρυγὰς καὶ ὡς τὰ πολλὰ παρακινεῖσθαι, μεγάλους ἀνέμους ἥξειν σημαίνουσιν. ὅταν διαδρομαὶ ἀστέρων πολλαὶ καὶ πυκναὶ γίνωνται, ὕδωρ πολὺ σημαί(νει) ἐντὸς ὀλίγων ἡμερῶν ῥυῆναι.

Π ε ρ ὶ ν ε φ ε λ ῶ ν. Ἐὰν γένηταί τις νεφέλη ἀερώδης παρὰ τὰς ὑπωρείας, αἱ δὲ ἀκρώρειαι καθαραὶ μένωσιν, εὐδίας σημεῖόν ἐστι. καὶ ὅταν ἐπὶ <τὸν> πόντον φαίνηται νεφέλη καὶ μὴ ἐν ὕψει ὑπάρχῃ, ἀλλ' αὐτοῦ πλησίον τοῦ πόντου παρατείνηται πλαταμῶνι ὁμοῖα, καὶ αὐτὴ ἡ νεφέλη ὀλίγον προνενευκυῖα τῆς θαλάσσης ὑπάρχῃ καθάπερ ὁ πλαταμών, καὶ παραθλίβηται καὶ συνέχηται, τοσοῦτον, τῆς θαλάσσης ἀφεστηκυία ὅσον καὶ ὁ πλαταμών [πλαταμὼν δέ ἐστι πέτρα τις ὀλίγον ἐξέχουσα τῆς θαλάσσης λεία καὶ ὁμαλὴ καὶ πλατεῖα], εὐδίας ἐστὶ σημεῖον. εἰ ἀπὸ δυσμῶν νεφέλη ἀναβῇ, χειμὼν ἔσται. ὅτε τῶν νεφελῶν τὰ μὲν ἀφίσταται καὶ οὐ δοκεῖ μένειν, τὰ δὲ ἐν αὐτοῖς ἐπιφέρηται . . . .

Ὁμίχλη εἰ ἐπὶ τὴν γῆν πεσοῦσα διαχυθῇ, ἕ(ως μὲν τῆς) τρίτης ὥρας, εὐδίαν σημαίνει, ἐὰν δὲ γέ(νηται) περαιτέρω, αἰθρίας· καὶ ἕξει τὸ πέλ(αγος) καὶ ἄνεμον ζέφυρον.

F.160. *Ἔ τ ι π ε ρ ὶ χ ε ι μ (ῶ ν ο ς) κ α ὶ ε ὐ δ ί α ς ἀ π ό τ ε τ ῶ ν κ τ η ν ῶ ν κ α ὶ τ ῶ ν π ε τ ε ι ν ῶ ν*(1).

Αἶγες τῷ σηκῷ προσερχόμεναι, ἐὰν βοσκόμεναι χ(όρτον) πρὸς τοὺς σηκοὺς ἀποβλέπωσι, χειμῶνα προμηνύ(ουσιν).

---

1 *καὶ ὅταν* evanid. 2 *μερῶν* evanid. 3 [...]*φορὰν* cod. [...]*σης*] 7 *σημαι*[...] cod. 11 *τὸν* suppl. 12 *παρατείνεται* cod. 15-17 *πλαταμὼν - πλατεῖα*] glossam seclusi 19 Textus in imo folio 159 abrumpitur. 20 *ἕ*[.......] cod., suppl. Delatte *γε*[....] cod. 22 *πε*[...] cod. 23 *χειμ*[....] cod. 25 *χ*[.....] cod. 26 *προημηνυ*[.....] cod.

---

(1) De his praesagiis ex animalium motibus actibusque elicitis, cf. quae *Catal.*, VIII, 1, p. 137 ex Parisino 2229 edita sunt et quae Heeger, *De Theophrasti qui dicitur Περὶ σημείων libro*, Lipsiae 1899,

Αἶγες ἀθρόαι κοιμώμεναι χειμῶνα δηλοῦσιν.

Ἀλεκτρυόνες καὶ ἐθάδες ὄρνιθες ταρασσόμεναι καὶ πτερυσσόμεναι καὶ ὑποτρύζουσαι χειμῶνα σημαίνουσιν.

Ἀράχνια μὴ ὄντος ἀνέμου καταφερόμενα χειμῶνα δηλοῖ.

Αἶγες καὶ ὕες ὀχηθεῖσαι καὶ πάλιν ὀχηθῆναι ἐπιζητοῦσαι χειμῶνα μακρότερον δηλοῦσιν.

Ἄρνες καὶ ἔριφοι ἀλλήλοις ἐμπεδῶντες <καὶ> ὑποσκιρτῶντες φαιδρὰν τὴν ἡμέραν σημαίνουσιν.

Βοῦς βοῶν καὶ τῆς γῆς ὀσφραινόμενος εὐδίαν σημαίνει.

Βοῦς ἐπὶ μὲν τῆς δεξιᾶς πλευρᾶς κατακλινόμενος χειμῶνα δηλοῖ· ἐπὶ δὲ τῆς ἀριστερᾶς, εὐδίαν σημαίνει.

Βόες πλέον τοῦ δέοντος ἐσθίοντες χειμῶνα δηλοῦσι.

Βόες πρὸς μεσημβρίαν ὁρῶντες καὶ τοῖς χείλεσι περιλειχόμενοι ἢ μετὰ μυκηθμοῦ ἐπὶ τὴν βουστασίαν ἐρχόμενοι χειμῶνα δηλοῦσιν.

Βοσκήματα τὴν γῆν ὀρύσσοντα καὶ τὰς κεφαλὰς (πρὸς) βορρᾶν ἐκτεινοντα χειμῶνα μέγαν σημαί(νουσι, μεί)ζονα δὲ ἐὰν ἐπὶ πλέον ὀρύσσωσιν.

(Γέραν)οι ἀπὸ πελάγους εἰς γῆν πετόμενοι χειμῶνα (μέγ)αν ἔσεσθαι προδηλοῦσιν.

(Γέρα)νοι ἡσύχως μὲν διερχόμενοι καὶ σιωπῶντες (εὐ)δίας σημεῖον· βοῶντες δὲ καὶ καταπετόμενοι καὶ ταραττόμενοι χειμῶνος.

(Γέρα)νοι θᾶττον ὀφθεῖσαι χειμῶνα πρώιμον σημαίνουσι.

(Γλ)αὺξ ἐν χειμῶνι μὲν ᾄσασα εὐδίαν σημαίνει, εὐδίας δὲ οὔσης κράζουσα χειμῶνα δηλοῖ.

Γαλαῖ ἐπιτρίζουσαι χειμῶνα μέγαν δηλοῦσιν.

Ἐρωδιὸς βοῶν καὶ ἐπὶ θάλατταν πετόμενος βροχὴν σημαίνει. ὅτε δὲ ἐκ θαλάσσης σφόδρα βοῶν ἔρχεται, ἄνεμον δηλοῖ.

---

3 *σημαίνει* cod. 5 *οἶες* cod. *παλιοχηθῆναι* cod. 7 *καὶ* suppl. 8 *σημαίνει* cod. 16 *πρὸς* evan. cod. 17 *σημαί*[........]*ζονα* cod. 19 [....]*οι* cod. [...]*αν* cod. 21 [....]*νοι* cod. [..]*δίας* cod. 23 *χειμῶνα* cod. 24 [...]*ανοι* cod. 24 *σημαίνει* cod. 25 [..]*αὺξ* cod. 26 *κραζαῖα* cod., vix sanum : *κράζουσα* Laurentianus

---

p. 69, ex codice Laurentiano XXVIII, 32 deprompsit. Cum his codicibus Scorialensis saepe consentit, ab his interdum recedit, tum contractior, tum plenior est, ita ut verba archetypi nonnunquam melius servaverit.

Σ χ ό(λ ι ο ν). Αἱ γὰρ τῶν ζῴων προσημασίαι γίνονται εἴτε νοῦ ὀξύτητι, ἢ αἰσθήσεως ταχύτητι. ἑκάτερον δὲ τούτων ἐνδεχόμενον αἰσθήσει εἴτε ψυχρότητος περιστολῇ ἢ ἀποθυμιάσεως ὀσφρήσει. ὁ μὲν γὰρ ἄνθρωπος ἐκ τῶν σκεπασμάτων τοῦ ψύχους τῆς παραλλαγῆς οὐκ αἰσθάνεται, οὐδὲ τῇ ὀσφρήσει διὰ μῖξιν τῶν χυμῶν ἀντιλαμβάνεται· τὰ δὲ θηρία δι' εὐαισθησίαν σημαίνουσι τὰ ἐσόμενα. ὁ οὖν ἐρωδιὸς τῶν ἀμφιβίων ὢν καὶ πολλάκις ἐν τῇ θαλάττῃ διατρίβων, προαισθανόμενος ὅτι ἔσεται ταραχή, τεθορυβημένος καὶ κραυγάζων ἔξεισιν ἐπὶ τὴν γῆν, τῇ ἀτάκτῳ πτήσει τὸν φ(όβον σημαίνων.)

Κόραξ κροτῶν τὰς πτέρυγας καὶ ἐπίτροχα φθ(εγγόμενος χειμῶνα δηλοῖ).

Κόρακες πλείονες ἀγεληδὸν ὥσπερ χα(ίροντες καὶ) κράζοντες εὐδίαν προσημαίνουσιν.

Κόρακες καὶ κολοιοὶ ἀθρόως ἐπιφαινό(μενοι) καὶ κρώζοντες χειμῶνα δηλοῦσιν.

Κορώνη ἐπὶ δείπνου ὑποφθεγγομένη ἡσυχῇ κ(αὶ) ἐσθίουσα εὐδίαν σημαίνει.

Κορώνη ἄσημον καὶ ἀπηχὲς φθεγγομένη χειμῶνα σημαίνει.

Κορώνη πραέως καὶ ἠρεμαίως κράζουσα εὐδίαν σημαίνει.

Κορώνη ἐπ' αἰγιαλοῦ τὴν κεφαλὴν βρέχουσα ἢ πᾶσα νηχομένη καὶ βοῶσα πρὸς μεσημβρίαν ὁρῶσα χειμῶνα δηλοῖ.

Κύνες τὴν γῆν ὀρύσσοντες χειμῶνα δηλοῦσιν.

Λύκοι φεύγοντες ἐρημίαν καὶ εἰς τὰ οἰκούμενα ἐρχόμενοι χειμῶνα σημαίνουσιν.

Λύκος πλησίον τῶν αἰγῶν ἢ τῶν οἰκημάτων θρασυνόμενος χειμῶνα σημαίνει.

Λαγωοὶ ἐν τοῖς χωρίοις πολλοὶ φαινόμενοι εὐδίαν σημαίνουσιν.

Μύρμηκες τὰ ᾠὰ μετάγοντες χειμῶνα δηλοῦσιν.

Μύες ἐπιτρίζοντες χειμῶνα μέγαν σημαίνουσιν.

Μυῖαι ἐπὶ πλέον δάκνουσαι χειμῶνα δηλοῦσιν.

Νῆσσαι καὶ αἴθυιαι πτερυγίζουσαι πνεῦμα δηλοῦσιν ἰσχυρόν.

Ὄρνιθες πολλαὶ λευκαὶ φανεῖσαι χειμῶνα δηλοῦσιν.

---

1 et 3 ἤτε, ἤτε cod. 6 δι' corr. : δέ cod. 9 Folium in fine lacerum. *φόβον σημαίνων* suppl. 10 *ἐπιτρόχως* ceteri ; quae desunt ex *Cat.*, VIII, I, p. 138, 5 supplevi. 12 *χα*[.......] cod., cf. Heeger, loc. cit., p. 70, 29. 13 *ἐπιφαινο*[.....] cod. 16 *κ*[..] cod. 18 *ἠρεμέως* cod. 30 *αἴθωιαι* cod.

Ὄρνιθες ἐκ τοῦ πελάγους σὺν ὁρμῇ πολλῇ πετόμεναι χειμῶνα δηλοῦσιν.

(Ὄρνι)θες κατοικίδιοι ταρασσόμεναι καὶ πτερυσσό(μεναι καὶ ὑ)ποτρύζουσαι χειμῶνα σημαίνουσιν.

(Ὄρνιθες) λουόμεναι ἀπειλὴν πνευμάτων σημαίνουσιν.

(Ὄρνι)θες ἀθροιζόμεναι περὶ λίμνας καὶ περὶ ὄχθας (π)οταμῶν χειμῶνα δηλοῖ.

Ὄρνιθες θαλάττιοι (ἢ) λιμναῖοι εἰς γῆν ἰοῦσαι χειμῶνα σημαίνουσιν.

Ὄρνιθες χερσαῖοι σπεύδουσαι εἰς τὰ ἀνώτερα καὶ σιωπῶσαι εὐδίαν σημαίνουσιν.

Ὄρνιθες κατοικίδιοι πυκνῶς κνώμεναι καὶ κρώζουσαι χειμῶνα σημαίνουσι.

Ποίμνια σκιρτῶντα χειμῶνα σημαίνει.

Πρόβατα πλέον τοῦ δέοντος ἐσθίοντα χειμῶνα σημαίνει.

Πρόβατα ὀρύττοντα ταῖς ὁπλαῖς τὴν γῆν χειμῶνα (δηλοῖ).

Πρῖνοι καὶ δρύες καρπὸν πολὺν φέροντες χειμῶνα μέγαν (δηλοῦσιν).

Ὑποζύγια σκιρτῶντα καὶ βοῶντα τοῦ ἔθους ἀνώτερον χειμῶνα δηλοῖ.

Χελιδόνες λίμνας ἢ δεξαμενὰς ἢ ποταμοὺς <περι>πετόμεναι μετὰ βοῆς χειμῶνα δηλοῦσιν.

3-6. Primae litterae evanidae. 3 *πτερυσσο*[......]*ποτρύζουσαι* cod. 6 *λήμνας* cod. [.]*οτάμων* cod. 8 *ἢ* evanid. Leg. *λιμναῖαι*? 13 *σημαίνει* cod. 16 *δηλοῖ* evan. 17-18 *δηλοῦσιν* evan. 21 *πετόμεναι* cod., corr. ex Laurent.

EXCERPTA EX CODICE 40 (Matrit. Bibl. Nat. 4783).

F. 27. *Ἐκ τῶν Δωροθέου ἀποτελεσμάτων, περὶ ὀρθῶν καὶ πλαγίων ζῳδίων.*

Hoc capitulum ad verbum conspirat, vel in orthographicis, cum excerpto ex codice Vaticano 1066 [Astrol. 11] a Francisco Boll, *Cat.*, V, 1, p. 240 edito.

F. 28. *Περὶ ὀνομασιῶν τῶν ιβ' τόπων τῆς δωδεκατρόπου* (1).

Ἀρχὴ δὲ ἔστω ἀπὸ τοῦ ὡροσκόπου, ὅ ἐστι ζωή, οἴαξ, σῶμα πνεῦμα.

Β'. Βίος. ᾅδου πυλή, κατάσκιον, δόσις, λῆψις, κοινωνία, γυναικὸς ἐπιπλοκή, συναλλαγή, πρᾶξις, ἐκ νεκρικῶν ὠφελεία, διαθήκη, ξενιτεία,

Γ' τόπος. Ἀδελφοί, συγγενεῖς, ἐπικέρδεια, βασιλεία, ἐξουσία, λοι.

Δ' Δόξα, πατήρ, τέκνα, γυνὴ ἰδία καὶ πρεσβύτερα πρόσωπα, πράξεις, πόλις, οἰκία, κτήματα, μονή, μετατροπαί, μεταβολαί τόπων, κίνδυνοι θανάτου, συνοχαί, μυστικὰ πράγματα.

Ε'. Τέκνων τόπος, φιλίας, κοινωνίας, σωμάτων ἀπελευθέρων, εἰσποιήσεως, ἀγαθοῦ τινος ἢ εὐεργεσίας.

ς'. Δούλων, σίνους, ἔχθρας, πάθους, ἀσθενείας.

Ζ'. Γάμου, ἐπιτυχίας, θανάτου, γυναικὸς ἐπιπλοκῆς, φιλίας, ξενιτείας.

M(atritensem) descripsi ; V(aticanum 1066, f. 34) contulit Cumont. 3 In marg. *ἀκωνι* ? M *β'* omis. M. 7-9 Verba *συναλλαγὴ - ἀδελφοί* in marg. add. M. 7 *νεκρῶν* M. *ὠφελίας* M : *ὀφελείας* V 8 9 *διαθήκης* codd. 8 *ξενητεία* codd. 9 *Γ' τόπος* scripsi ; *τόπου* in marg. *γ'* manu altera V : *τοπ'* M 11 *Δ* omis. M 12 *οἰκεία* cod. 14 *Ε'* omis. M. *τέκνον* M

(1) Cf. excerptum ex codice Veneto *Cat.*, II, p. 158, editum a Guilelmo Kroll, qui eadam fere apud Valentem IV, 15 inveniri adnotavit, ex quo descripta esse videntur.

Η'. Θανάτου, νεκρῶν, ὠφελείας, ἀργὸς τόπος, δίκης, ἀσθενείας.

Θ'. Φιλίας, ἀποδημίας, ὠφελείας, θεοῦ, βασιλέως, δυνάστου, ἀστρονομίας, χρηματισμῶν, θεῶν ἐπιφανείας, μαντείας, μυστικῶν <καὶ> ἀποκρύφων πραγμάτων, κοινωνίας.

Ι'. Πράξεως, δόξης, προκοπῆς, τέκνων, γυναικός, μεταβολῆς, καινισμοῦ πραγμάτων.

ΙΑ'. Φίλων, ἐλπίδων, δωρεῶν, τέκνων, σωμάτων ἀπελευθέρων.

ΙΒ'. Ξένης, ἔχθρας, δούλων, σίνους, κινδύνων, κριτηρίων, πάθους, θανάτου, ἀσθενείας.

Ἕκαστος μὲν οὖν τόπος καθὸ σημαίνει ἰδίως ἀποτελέσει· συνεργεῖ δὲ καὶ ἡ τοῦ διαμετροῦντος τόπου φύσις.

Ἐπὰν οὖν παράδοσις ἐνιαυτοῦ εὑρεθῇ, σκοποῦμεν ἐπὶ ποίου τόπου ὁ παραδιδοὺς τυγχάνει καὶ ἐπὶ ποίου ὁ παραλαμβάνων κατὰ τὴν προκειμένην δωδεκάτροπον καὶ κατὰ τὴν οἰκειότητα τοῦ ζῳδίου· καὶ τοῦ τόπου τὸ ἀποτέλεσμα ἀποφαινόμεθα ἤτοι τῆς παραδόσεως τῶν ἀστέρων· οἱ γὰρ ιβ' τόποι, κατὰ ιβ' ζῴδια ὕλῃ ἀναλογοῦσιν, εἰδοποιοῦνται δὲ ὑπὸ τῆς τῶν ἀστέρων ἐνεργείας.

Παρατηρεῖν τὴν Σελήνην δεῖ· ὡροσκοποῦσα γὰρ ἀρρωστίαν σημαίνει, δύνουσα δὲ ἐν τῷ ὑπὸ γῆν καὶ θάνατον.

Παρατηροῦ μὴ κατάρχεσθαι μάχης ἢ πολέμου τινὸς τῶν κυρίων τοῦ ὡροσκοποῦντος ζῳδίου καὶ τοῦ δευτέρου τρόπου ἀπὸ τοῦ ὡροσκόπου ὑποποδισμένων ὄντων· δηλοῖ γὰρ τροπήν. μήτε μὴν ὁ κύριος τοῦ ζ' καθυπερτερῇ τὸν κύριον τοῦ ὡροσκόπου, ἀλλὰ ἁρμόζῃ τὸν κύριον τοῦ ὡροσκόπου. πρὸς δὲ πᾶσι τοῖς εἰρημένοις, ἐν πάσῃ καταρχῇ τοῦ Ἑρμοῦ ἀστέρα παρατηροῦ μάλιστα μὴ εἶναι ὑποποδισμένον ἢ ὕπαυγον ἢ ἀφαιρέτην ἤ τινι τῶν κακοποιῶν σχηματίζεσθαι, ἀλλὰ μόνοις τοῖς ἀγαθοποιοῖς, καὶ ἐπὶ καλοῦ τόπου ἑστῶτα, ἤτοι ἐπίκεντρον ἢ ἐπαναφερόμενον τοῖς κέντροις. εἰ μὴ γὰρ οὕτως ἔχοι, οὐδὲν ἀνύσεις.

1 *νεκρῶν* Leg. *νεκρικῶν* ? cf. p. 184 v. 7. 2 *Θ'* omis. M. *βασιλέως* V : *βασιλείας* M 4 *καὶ* suppl. 5 *Ι* omis. M. 7 *ΙΑ'* omis. M. 8 *ΙΒ'* omis. M. 10 *μὲν* omis. M. 11 *φύσης* V 19 *δεῖ* omis. V 20 *δὲ* V : *δὴ* M. 21 *παρατηρούμενος* codd., *παρατηροῦ μὴ* corr. 22 *τρόπος* pro *τόπος*, *δωδεκατρόπος* pro *δωδεκάτοπος* dixit scriptor Byzantinus. 24 *καθυπερτερεῖν* M : *καθυπερτερεῖ* V 25 *ἁρμόζειν* codd., corr. Delatte 27 *κακοποιῶν* V : *κατασκόπων* in marg. *κακοποιῶν* M. 29 *ἢ* V : *καὶ* M.

F. 46. *Περὶ κατακλίσεως καὶ νόσων.*

Est opusculum editum ab Alexandro Olivieri ex codicibus duobus Laurentianis, *Cat.*, I, p. 122-124, sed nonnulla in cod. Matritensi a codd. Florentinis differunt :

P. 122. 2 : *νοσημάτων*] *νόσων* 3 *τὰς τούτων οἰκοδεσποτείας* 6 *εἰ δὲ κακοπ.* 7 *κάκωσις τινος κοινῶς* 9 *ἡ νόσος* omis. *παλὶν ἐὰν* 11 *ὁ* omis. 12 *τε* omis. 17 *καθὼς ἐν τῷ με' κεφαλαίῳ ἔμαθες* omis.

P. 123, 1 *ἢ τὸν ὡροσκόπον διαμετρῶσιν ἢ τῇ Σελήνῃ συνοδεύωσιν ἢ διαμετρῶσιν* (signo astrol.) 4 *ἐπεκτείνεται* *δὲ* omis. 6 *κακοποιὸς* 8 *ἀγαθοποιὸς συνάπτῃ τῇ Σελήνῃ* *γίνεται* omis. 9 *ἐὰν* omis. 11 *μετὰ ἡμέρας ζ'* 12 *ἑαυτοῦ* (sed *ῆς* superscr.) *τετραγώνῳ σχήματι* (omissis *τουτέστι τῷ τετραγώνῳ*) 12-13 *θ' ἡμέρας* 14 *ιδ' εἰς τὸν ἑαυτῇ* (sic) *διάμετρον* 14-15 *μετὰ δὲ ιθ' ἔρχεται εἰς τὸ δεξιὸν τρίγωνον* 15 *μετὰ δὲ κα' ἐν τῷ δεξιῷ τετραγώνῳ* ceteris omis. 16 *ταῦτα οὖν τὰ ε' σχήματα τῆς σελήνης δεῖ ἀκριβῶς σκοπεῖν* 19 *ἐν ἡμέραις διὰ ιζ' ἡμερῶν κρίνονται ἢ διὰ ιδ'* 20 *ἡμερῶν ι' ἢ καὶ κ'* 25 *κατερχομένοις* 29 *ἐπιφαίνεται*

P. 124, 1 *περιέχει*, in marg *παρέχει* 2 *σπασμούς*] *πλασμούς* 3-4 *οὕτω τυχὸν* 10 *αὐτὴν*] *αὐτός* 11-12 *ἐὰν δὲ τῆς Σελήνης - ὠφέλιμος γίνεται* omis. 14 *παρόδου* 15 *τὸ*] *τὸν* *ἢ τὸ διάμετρον ὁ* 19 *ἢ τῷ διαμέτρῳ* sine *σχήματι* 20 Post *ἀναιρεῖ* addita sunt : *ἐὰν τῆς Σελήνης τοῖς ἀριθμοῖς ἀφαιρούσης ἐν τῇ κατάρχῃ ὁ Κρόνος αὐτὴν σχηματίσῃ, βλαβερὸς γίνεται τῷ κάμνοντι, ἐὰν δὲ οὕτως αὐτῆς ἐχούσης ὁ Ἄρης ἐπιθεωρήσῃ, ὠφέλιμος γίνεται.*

F. 48v. *Περὶ ἀρρώστων καὶ ἰατρῶν.*

Σκόπει μὲν περὶ τοῦ ἀρρώστου, ἀπὸ τοῦ ὡροσκόπου καὶ τοῦ κυρίου αὐτοῦ, περὶ δὲ τῆς ἀρρωστίας ἧς ἔχει, ἀπὸ τοῦ ς' τόπου καὶ τοῦ κυρίου αὐτοῦ. ὁ δὲ θάνατος αὐτοῦ ἔστω ἀπὸ τοῦ η' τόπου καὶ τοῦ κυρίου αὐτοῦ· ἡ δὲ ἔκβασις τῆς νόσου ἀπὸ τετάρτου τόπου, ἡ δὲ ἰατρεία ἀπὸ τοῦ θ' τόπου καὶ τοῦ κυρίου αὐτοῦ· ὁ δὲ ἰατρὸς ἀπὸ δεκάτου τόπου καὶ τοῦ κυρίου αὐτοῦ. περὶ δὲ τοῦ ποίῳ θανάτῳ τεθνήξεται, ἀπὸ τοῦ ζ' τόπου καὶ τοῦ κυρίου αὐτοῦ. μετὰ γοῦν τὸ στῆσαι τὸ θεμάτιον καὶ σκέψασθαι περὶ τούτων, σκόπει τὸν κύριον τοῦ ς' τόπου, ἐν ποίῳ ἐστί· καὶ εἰ μὲν εὑρεθῇ εἰς τὸν ὡροσκόπον ἢ εἰς τὸ μεσουράνημα, γίνωσκε ὅτι ἡ ἀρρωστία αὐτοῦ φανερά ἐστιν. εἰ δὲ εἰς τὸν δ' τόπον ἢ εἰς τὸν ζ', εἰς τόπον ἐστὶ κρυπτόν. καὶ εἰ μὲν κακοῦται ἡ Σελήνη καὶ ὁ ὡροσκόπος, οἱ δὲ κύριοι αὐτῶν ἀγαθύνονται, γίνωσκε ὅτι ἡ ἀσθένεια τῆς ψυχῆς ἐστι καὶ οὐχὶ τοῦ σώματος, ἐπεὶ ἡ Σελήνη καὶ ὁ ὡροσκόπος δηλοῦσιν περὶ τῆς ψυχῆς, ὁ δὲ κύριος τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης καὶ τοῦ Ἡλίου δηλοῖ περὶ τοῦ σώματος καὶ τῆς ψυχῆς. εἰ δὲ κακοῦται ὁ ζ' τόπος, δηλοῖ ὅτι ὁ ἰατρὸς ἀνίκανός ἐστιν. εἰ δὲ ὁ κύριος τοῦ ὡροσκόπου ἐστὶν εἰς τὸν η' τόπον, ὁ δὲ οἰκοδεσπότης αὐτοῦ ἐστιν ἀγαθὸς καὶ ὁρᾷ ἢ συνάπτει ἑτέρῳ ἀγαθῷ ἢ μεσουρανήματι, ζήσεται. ὅτε δὲ ἡ Σελήνη κακοῦται παρὰ κακοποιοῦ ἢ συνάπτει τῷ καταβιβάζοντι, φόβος ἐστὶ θανάτου. εἰ δὲ ἡ φύσις τοῦ ζῳδίου ἐναντία ἐστὶ τῇ φύσει τοῦ ἀστέρος, ἀποτελεσμάτισον κατὰ τὸ δυνατώτερον ἢ μῖξον ἀμφοτέρων τὰ ἰδιώματα καὶ οὕτως ἀπόφησον. πάλιν σκόπει τὸν τοῦ ὡροσκόπου ἀστέρα καὶ τὴν φύσιν αὐτοῦ καὶ τὴν φύσιν τοῦ ὡροσκοποῦντος ζῳδίου· καὶ εἰ μέν ἐστιν ἀνατολικώτερος τοῦ τε ὡροσκόπου καὶ τοῦ Ἡλίου καὶ ἔτι τοῦ Κρόνου, ὅς ἐστι κατὰ τὴν φύσιν ψυχρός, λάχοι δὲ καὶ εἰς τὸν Κριόν, τότε ἡ φύσις τοῦ ζῳδίου ἐν ᾧ ἐστι δυνατωτέρα ἐστί, καὶ ἀποφαίνου περὶ θερμότητος καὶ ξηρότητος κατὰ τὴν φύσιν τοῦ Κριοῦ. εἰ δὲ τύχοι ὁ ἀστὴρ οὔτε ἀνατολικώτερος, οὔτε δυτικώτερος τοῦ Ἡλίου ἢ τοῦ ὡροσκόπου, ἔστι δὲ εἰς ζῴδιον ἐν ᾧ ἔχει λόγον πλεῖστον, οἷον εἰς τὸν αὐτοῦ οἶκον ἢ εἰς τὸ ὕψωμα ἢ εἰς τρίγωνον, ἀποφαίνου πρὸς τὴν φύσιν τοῦ ἀστέρος· καὶ εἰ μὲν εὑρίσκεται ὁ ὡροσκόπος εἰς τροπικὸν ζῴδιον καὶ ἡ Σελήνη ὡσαύτως ἐν τροπικῷ ζῳδίῳ, δηλοῖ ὅτι συντόμως ὑγιανεῖ ἢ τεθνήξεται. εἰ δέ ἐστιν εἰς στερεὸν ζῴδιον ὅ τε ὡροσκόπος καὶ ἡ Σελήνη, δηλοῖ ὅτι μακρονοσήσει· εἰ δὲ εἰς δίσωμα ζῴδια, δηλοῖ ὅτι συντόμως διαλλαγήσεται· καὶ εἰ μέν ἐστιν ἀγαθά ὑγιανεῖ, εἰ δὲ κακοποιά, εἰς θάνατον.

M(atritensem) descripsi ; V(aticanum 1066, f. 101v) contulit Cumont 4 *ἧς ἔχοι* V 5 *κυρίου* V : *κύκλου* M. 6 *ἀπὸ τετάρτου τόπου* scripsi : *ἡ δ' τοπος* M : *ὁ τέταρτος τόπος* V. Supplendum *καὶ τοῦ κυρίου αὐτοῦ* 7-8 *ὁ δὲ ἰατρὸς - αὐτοῦ* omis. M 8 *ὁ δέκατος τόπος καὶ ὁ κύριος* V, corr.

